Itaq;, inquit, non de leui re, ſed de inſania certatur, niſi Socrates dixit. Vultis'ne compotes rationis animos habere, aut non? Volumus. Cuiuſmodi: bonóſne, an prauos? Canos. Cur ergo non quæritis? Quia habemus. Quid igitur contenditis?

M. ANTONINI IMperatoris de vita ſua Liber XII.

OMnia iſta quæ per circuitus temporum adipiſci optas, iam nũc habere potes, niſi tibi ipſi inuides. hoc eſt: Si omne id quod præterijt, omittas, futurum prouidentiæ committas, id modò quod præſens eſt, dirigens ad ſanctitatem & iuſticiam: alteram, vt boni conſulas ea quæ tibi fatum tribuit (etenim id natura tibi attulit) alterã, vt liberè ac ſine ambagibus veritatem loquaris, agasq́ue ſecundum legem, & vt dignum eſt. Non impediat autẽ te neq; aliena malicia, neq; opinio, neq; vox, neq; ſenſus circundatæ tibi carnis. Id enim curet, quod afficitur. Itaq; iam in exitu cùm ſis, tantùm mentẽ tuam, idq́; quod eſt in te diui-

num

num,veneraberis:neq; mortem metues, ſed ne quando viuere non ſecundum naturam incipias. Sic homo eris dignus mundo,qui te protulit: neq; amplius eris tanquam peregrinus patria tua,admirans ea quæ quotidie eueniunt, neq; de hac vel illa re dependebis.

Videt Deus omnes mentes,nudas à vaſis materialibus,& corticibus iſtis atque repurgamentis.Sola enim ſua intelligẽtia ſola iſta cõtingit,quæ ab ipſo huc defluxerunt ac deriuata ſunt. Quod ipſum tu quoque ſi facere adſueſcas,magna ex parte efficies,ne ita circumtrahare. Qui enim non aſpicit carnem circumiectam, is ne occupetur in veſte, domo, gloria, reliquisq́; exterioribus, ac quaſi tabernaculo contemplando?

Tria ſunt,ex quibus conſtas: Corpus, anima,mens.Priora duo tantum ea ratione tua ſunt, quòd eorũ curam geris:tertium ſolum verè tuum eſt.Quod ſi ſepares à te, quæ alij dicunt aut faciunt, aut quæ tu ipſe,aut quæ te futura perturbãt, aut quæ corpori tibi circundato,vel animulæ vnà natæ præter tuam voluntatem accidunt, ac quæ fluctus externarum rerum voluit : ita vt intellectus ab

illis

illis rebus quę fato vnà ſunt, exemtus liberam apud ſeipſam vitam viuat, agens iuſta, probans euenta, dicens vera: ſi inquam remoueas à mente res quæ ei conſenſu quodam naturæ adhærent, itemq; futurum & præteritum tempus, efficies ex teipſo globum, qualis ille Empedocleus:

Se ſolo exultans, totus teres atq; rotundus.

Diſces id tantum viuere quod viuis: hoc eſt, in præſentia. Ita fiet, vt quod ad finem vſque vitæ tibi ſupereſt, poſsis abſque perturbationibus generoſè, & genium tuum probans atque amans, exigere.

Sæpenumerò mihi mirari ſubijt, quid nam eſſet rei, quòd homines cùm ſeipſos magis quàm quenquam alium diligant, tamen ſuam de ſeſe exiſtimationem minoris ducant quàm aliorum.

Quòd ſi quis Deus, aut prudens præceptor mandet, ne quid homo apud ſe ipſum cogitet, animóue concipiat, niſi id ſtatim ſit prolaturus, certè ne vnum quidem diem id toleret: adeò magis veremur quid proximus de nobis ſit exiſtimaturus, quàm quid ipſi nos.

Qui fit, quòd dij, cum omnia pulchrè

& humaniter ordinauerint, hoc vnum neglexerint, quod nonnullos homines apprimè bonos, ac qui plurimis ſuam erga Deum pietatem quaſi ſymbolis fecerunt teſtatam, numiniq; ſeſe familiares multis pijs actionibus & ſacrificijs effecerunt, ſemel fato functos non reducũt, ſed omnino extingui ſinunt. Id autem ſi ita eſt, ſcias deos aliter inſtituturos fuiſſe, ſi aliter fieri expediuiſſet. Nam ſi erat iuſtum, erat vtiq; etiam poſsibile: ac ſi erat ſecundum naturam, certè natura id tuliſſet. Quòd ergo res non ita habet (ſi tamen nõ ita habet) id tibi faciat fidem, nõ fuiſſe ex vſu, vt aliter quàm eſt fieret. Vides enim ipſe quoq;, te, dum hoc ſcrutaris, cum Deo de iure diſceptare. Atqui non hoc modo cum dijs colloqueremur, niſi eos optimos eſſe & iuſtiſsimos putaremus. Si autem tales ſunt, nihil certè in rerum diſpenſatione iniuſtè ac contra rationem neglectum pręterierũt.

Adſuefac te ad ea etiam, de quibus deſperas. Etenim læua manus, cùm ad alia obeunda ſit inhabilis, propterea quòd non conſueuit: tamen frænum fortius, quàm dextra, continet.

Qualem te corripiet mors corpore & ani-

animo? Conſidera vaſtitatem æui quod ante & poſt te eſt, breuitatem vitæ, materiæ imbecillitatem: cauſas ipſas, ab integumentis nudas, inſpice.

Quò referantur actiones, vide: quid dolor, voluptas, mors, gloria, quis ſibi ipſi occupationum ſit cauſa. Neminem ab alio impediri, omnia opinionib. conſtare.

In vſu placitorum, ſimilem oportet eſſe pancratiaſtæ, non gladiatori. hic enim enſem quo vtitur, ſi deponit, interficitur: alter verò manum ſemper habet paratam, neque alia re indiget, quàm vti eam contorqueat.

Huiuſmodi res conſiderandæ ſunt, diuiſione earum facta in materiam, formam, & reſpectũ. Quanta eſt potẽtia hominis? Cui licet nihil aliud facere quàm id quod Deus ſit laudaturus, & amplecti omnia quæ ei Deus obtulerit.

Quod ad naturam conſequitur, eius cauſa Dei non ſunt culpandi, (nam neque volentes, neque inuiti peccant) neq; homines.

Quàm ridiculus eſt, & peregrinus, qui miratur ea quæ in vita fiunt.

Omnia ſunt aut neceſsitas fatalis, at-

quę ordo ineuitabilis : aut prouidentia placabilis : aut confuſio inanis, & nullũ habens præfectum. Quòd ſi eſt neceſſitas ineuitabilis, quid reluctaris? Sin prouidentia, quę admittit placationem, dignum præbe teipſum diuino auxilio. Sin confuſio eſt, cui præſit nemo: contẽtus eſto, quod in tanto rerum fluctu ipſe in te habes mentem. Quòd ſi te abripiat æſtus, abripiat ſanè corpuſculum, animulam, ac reliqua: mentem quidem non abripiet. Quaſi verò lumen candelę tantiſper luceat, dum extinguatur, neq; ſplendorem amittat: veritas autem in te, & iuſticia, & temperantia, ante obitum tuum extingui debeat.

Si quis de ſe opinionem, peccati præbeat, cogita: Ecquid noſti, ſit'ne peccatum? ac ſi peccauit, quid ſi ipſe ſeipſum damnet: idque perinde eſt, ac ſuum ipſius lædere oculum. Qui autem prauos peccare non vult, eius ſimilis eſt, qui nõ vult ficum in ſuo fructu ſuccum ferre, infantes plorare, equum hinnire: ac ſi quæ ſunt alia neceſſaria. Quid enim aliud faceret, qui hunc ſibi habitum contraxit? Si igitur trux eſt, cura eum morbum.

Si non

Si non conuenit, ne agas: ſi non eſt verum, ne dicas. Tui animi motus ita ſint compoſiti, vt omnia circunſpicias. Cogita, quid ſit quod cogitationem tibi commouet: idq́; excute, diuidendo in cauſam, materiam, reſpectum, tempus, intra quod ea res deſinet. Senti vel tandem, eſſe aliquid in te præſtantius ac diuinius, quàm ea ſunt quæ affectus cient, ac quę te mouēt. Quid enim eſt intellectus? num metus, num ſuſpicio, num cupiditas, num aliquid aliud tale?

Primò cogita, nihil fruſtra eſſe agendum, neq; quod non aliquò referatur: deinde, vt non aliò quàm ad ſocietatem humanam referatur. Paulo pòſt nuſquā eris, neq; quicquam eorū quæ nunc cernis, neq; quiſquam eorum qui nunc viuunt. Omnia enim nata ſunt ita, vt mutē tur, vertantur, & pereant, vt in eorum locum alia naſcantur. Omnia opinione conſtant: hæc autem eſt in tua poteſtate. Tolle igitur, cum lubet, opinionem: eruntq́; tibi tanquam promontoriū prętervecto omnia ſerena: & ſinus fluctibus vacans. Nulla, quæcunque ea ſit actio, malum aliquid patitur, ſi ſuo tempore deſinat: ſicut neq; is qui agit, ea ratione

aliquid mali accipit. Itidem & corpus omnium in vniuerſum actionum, quod eſt vita, ſi ſuo tempore deſinat, nihil mali ea ratione patitur, neque is qui opportunè finem facit ſeriei iſti actionum, malum aliquod fecit. Tempus verò debitum, & terminum natura conſtituit: aliquando etiam priuatim, vt in ſenectute: omnino autem vniuerſi natura. Cuius quidem partibus mutatis, ſemper recens & vigens mundus perdurat. Semper verò id pulcrum eſt, & ſpecioſum, quod conducit vniuerſo. Finis itaque vitæ, ſingulis mala quidem eſſe non poteſt: quippe cum non ſit turpis. quippe nec voluntate è noſtra dependens, & à ſocietate non aliena. Bona autem ſit, cũ et opportunè fiat reſpectu vniuerſi, et proſit, & diuinitùs accidat. His cogitatis, tria hæc in promtu habe. Primum, vt in agendo cures, ne quid fruſtra agas, aut ſecus quàm ipſa iuſticia egiſſet. in reb. extrinſecus accidentibus eas fortunæ nutu, aut prouidentiæ obtigiſſe: quarũ neutra eſt incuſanda. Secundum, quale vnũquodlibet à priuatione fuerit vſq; dũ animam accepit, indeq;, donec eam reddidit: ex quibus conflatũ ſit, & in quæ diſſoluatur.

ſoluatur. Tertium, ſurſum elato animo humanas res intuere, earumq́; multiplicem varietatem: quàm multa circùm in aere & in æthere habitent: eaq́; te viſurum, quoties in ſublime attollaris: vt ſint omnia vnius ſpeciei, & breui tempore durent: tum quis in ijs faſtus.

Eijce opinionem, & ſaluus es. nemo id prohibebit.

Rem aliquam moleſtè ferens, oblitus es, omnia fieri ſecundum Vniuerſi naturam, & quod peccatum ſit alienum: præterea omnia ita, vt nunc fiunt, ſemper facta eſſe, & futura, nuncq́; fieri vbiq;: item quę homini ſit cum vniuerſo genere hominum cõiunctio: non ea ſanguinis aut ſeminis: ſed mentis communicatio. Oblitus es etiam, mentem vniuſcuiuſq; eſſe deum, & inde fluxiſſe: nihil cuiquam proprium eſſe, ſed illinc & fœtum & corpuſculum & ipſam animulam veniſſe. Oblitus es omnia verſari in opinione: item, quòd id tantùm quod præſens eſt, vnuſquiſq; viuit, & amittit.

Crebrò apud animum tuũ recole, eos qui certis de rebus nimium ſunt indignati: qui maxima gloria, calamitate, inimicicia, aliáue quacunq; fortuna effloruerũt.

Deinde quære, vbi nam ſint iſtá: nempe fumus ſunt, & cinis, & ſermo, aut ne hoc ipſum quidem. Simul ad mentem tibi accidat, qualia ſint omnia. ut Fabius Catullinus rure, Lucius Lupus in hortis obijt, Stertinius Baijs, Tiberius Capreis, Velius Rufus *

Et omnino opinionis cauſa diſcrimen in rebus indifferentibus ſtatutum. Tum, quàm vile ſit omne quod reſiſtit. Item, quanto magis ſit philoſophię conſentaneum, in data materia tueri iuſticiam, modeſtiam, ac ſimpliciter dijs obſequi. Faſtus enim, qui ſuperbiæ vacuitatem oſtentando exercetur, omnium eſt grauiſsimus.

Qui quęrit, Cur deos colas, quomodo eos videris, aut eſſe depręhenderis? ei reſpondebis, Primùm eſſe eos viſiles. deinde, abſque hoc ſit, tamen animam meam cum non videam, nihilominus magnifacio: ita deos quoq; ex viribus eorũ quas identidem percipio, cùm eſſe intelligo, tum veneror. In eo ſita eſt vitæ ſalus, vt ſingulas res totas intuéaris, quid in ijs formæ ſit, quid materiæ. Toto animo age vt iuſta agas, & vera dicas. Quid enim ſupereſt, quàm vt fruaris vita, bo-

nis

nis bona annectendo, ita vt minimũ ſpacium intermittas? Vnum eſt lumen ſolis, etiam ſi intercipiatur parietibus, muris, alijsq́; innumeris rebus. Vna eſt communis natura, etſi certo modo affectis corporibus infinitis diſtincta. Vna anima, etſi naturis innumeris, proprijsq́; circumſcriptionibus diſtributa videatur. Vna etiam mens, etſi diſcreta videatur. Reliquæ proinde dictorum partes, tanquam ſpiritus & ſubiecta inſenſata, & inuicem nihil coniunctionis habentia, tamen ipſa quoq; à mente & eius potentia continentur. At peculiariter intellectus eiuſdem generis adiungit ſe naturis, neq; à ſocietate diuellitur.

Quid quæris? vt viuas? Id eſt ſentire, appetere, creſcere, deſinere, loqui, cogitare. Quid horum deſideratu dignum tibi videtur? Quòd ſi vilia ſunt omnia hæc, ad extremum te confer, nempe vt ſequaris rationem & Deum ducem. Sed vtrum huic inſtituto pugnat, ægrè ferre aliquid, an verò mors id abolet?

Quanta pars immenſi infiniti æui attributa eſt vnicuiq;? celeriter ea in æternitate euaneſcit. Quanta pars vniuerſi? quantaq́; animæ vniuerſæ? quantula in

glebula terræ repis? Hæc omnia tecum cogitans, nihil animo magnum cõcipe. hoc tantũm, vt ductu naturæ agas, & feras quæ communis fert natura. Id cura, quomodo mens tua ſeipſa vtatur: in hoc enim ſunt omnia. Cætera ſiue à voluntate dependeant, ſiue ſecus, mortua ſunt, fumusq;.

Id maximè ad contemtum mortis facit, quod hi etiam qui dolorem in malis, & voluptatem in bonis duxerunt, tamẽ eam deſpexerunt. Qui id tantùm boni nomine dignatur, quod eſt opportunũ, ac cui perinde eſt pluréſne an pauciores ſecundum rectam rationem præſtiterit actiones, neq; in aliquo ponit diſcrimine, longioréne an breuiori tempore mũdum contempletur, ei mors nequaquam eſt terrori. Heus tu, ciuis fuiſti in hac magna vrbe: quid attinet, vtrum quinquennio? Etenim quod ſecundum leges, id omnibus eſt æquum. Quid ergo graue accidit, ſi te vrbe emittit dominus: non is quidem iniuſtus iudex, ſed natura quę te introduxit? perinde ac ſi prætor hiſtrionem emittat è theatro, in quod eum introduxerit. Quòd ſi is dicat, ſe non quinque, ſed tres modò actus recitaſſe: re

ctè

ctè dicet. At verò in vita tres actus fabulam implent: finem enim is determinat, qui & concretionis olim fuit, & nũc eſt diſſolutionis autor. Tu neutrius es cauſa. Diſcede igitur æquo animo: nam & is qui te dimittit, propitius tibi eſt.

M. ANTONINI PHILOSOphi *Imperatoris, de vita ſua librorum finis.*

AVTORVM ELENchus, quorum in hiſce Opuſculis teſtimonia citantur.

Aeſchylus
Aeſculapius.
Agatharchidis hiſtoria Aſiana.
Alcman.
Armeleſagoræ deſcriptio Atticæ.
Amometus.
Anacreon.
Andron de Sacrificijs.
Antigonus, ſiue Antigoni Alterationum liber.
Antiſthenes.
Antoninus Liberalis.
M. Antoninus philoſophus & Imp.
Apollinis oraculum.
Apollodori annales.
Apollonius grammaticus.
Apollonius poeta, & Apollonij Epigrammata.

Arche-

Archelaus Aegyptius.
Archelaus poeta.
Areius Laco.
Ariſtoteles.
Ariſtoxenus muſicus.
Athenadæ Ambracica.
Boeus de Auium ortu, ſiue Ornithogonia.
Callimachus Aegyptius.
Callimachus Cyrenæus.
Chryſippus.
Corinna, de Alteratis.
Craterus.
Crates.
Cteſias.
De fabuloſis locorum rebus liber.
Democritus.
Didymarchi Metamorphoſeon libri.
Dorotheus medicus.
Empedocles.
Epicurus.
Epictetus.
Eudoxus. Cnidius, Rhodius.
Eumachi Periegeſis.
Euripides.
Hellanicus Leſbius.
Heraclides Cretenſis.
Heraclides Ponticus.
Heraclitus.
Hermeſianax.
Herodotus.
Heſiodi Eœa, ſiue Orientalia.
Hiero.
Hieronymus hiſtoricus.
Hippo Rheginus.
Hippocrates medicus.
Hippoſtrati Minos.
Lycus Rheginus.
Megaſthenes.
Menecratis Xanthij Lyciaca.
Menippus.
Myrſili Leſbiaca.
Nicagoras.
Nicandri Alteratorum libri, ſiue de Mutationibus.
Orpheus.
Orus Apollo.
Pamphylius.
Phanias.
Pherecydes Syrus.

Phylar-

Phylarchi hiſtoriarum libri 110.
Philetas.
Philonis Aethiopica.
Phlegon Trallianus.
Pindarus.
Polycritus.
Pythagoras.
Scytinus Chius.
Sibylla.
Simmias Rhodius, Apolline.
Simonides.
Socrates.
Tacus de lapidibus.
Theophraſtus.
Theopompus Chius.
Theopompus Sinopenſis de terræmotibus.
Timæi Siculi hiſtoriæ.
Xenocrates.
Zeno Cittiæus philoſophus.
Zenophilus.
Zoroaſtres.

ERRATORVM, QVÆ Operarum incuria commiſſa, inter colligendum verò Indicem deprehenſa ſunt, emendatio.

Pag.4.verſ.14. HENRICI,*&c. 7.vlt.copioſe,tum 6. 11.cùm quæ 8.1.primario, & 12.* LXVII. *9.18.legit:lectoq́;, 11.1.multos, & 23. Meleagro 12.9.poſt,Diana fecerit. ſtatim ſequi debebāt hæc verba:Hæc & precedēs narratio,&c. & 12. Boei & 16. plurimosq́; ex ea 13.5.reddidit:14.5. In ſumma, & 6.omiſſus eſt in margine numerus 1. 15.9. Apollini & 18.ob pietatē, 19. iuſticiæ 17.penult. ſummum adiret ſolium*

19.22. quam alij 20.4. Diomi 21.2. Pierius & 14. mortales cum 22.13. poſt Solis. ſtatim ſubijciatur: Ibidem hoc nar. 20. ingeßiſſet. 23.13. Chelidonidem: & ſic etiam in ſequētibus. & 20. quam ex pacto conuento debebat, tradit. 24.5. ſe filij ſui carnes ediſſe, eas & 19. dele perſonas & 23. Aedon in alcyonem 25.3. magis, & 9. poſt Dianā. ſtatim ſubde: Nicāder lib. Alt. &c. 26.4. vi eſt ſtu. 29.15. ſuſpendiſſet. Narratio 30.3. euolarunt. 31.24. poſt nunciam. ſtatim debet ſubiungi, Ex Boci, &c. 32.15. bellum eſt. Ex eiuſdem, &c. 34.15. Panactem 36.6. ac Fas inbibuerunt, quod fas & 13. poſt viderunt. ſtatim ſequatur, Hæc & præced. & 25. intēdit ipſe 38.7. cæruleus & 9. indicium 40.6. Othrijs, 41.1 Dina Sperchij 43.21. magno æſtu, 44.21. ſedentibus. 46.2. Echonem 48.9. incudib. & 12. Alcmenæ 49.1. coitum. nam & 21. lembo 52.15. concubitus 53.6. alno excitata, ac pone alnum 55.3. ſtructarum 56.14. percußis & 20. Rhea 63.25. iuuarent 66. antepenult. natuq; 67.6. Floruit, & 12. diramq;. 72.4. effodere ſolent, effoſſo 73.25. reuera 76.15. ſententiam: néue 78.11. adeas & 25. vſquam 79.7. exhinc & 24. in margine ponatur numerus 1. 82.1. in marg. ponatur numerus 2. 83.3. ponatur in marg. numerus 3. & 23. Queis 87.14. deleatur, poſt cruciatibus 88.19. Carminio Hyæo & 23. fatales

89.17.*præcepta* 90.5.*quæ nata,puellæ.* & 8.*Ditũ* 96.3.Alexãdreæ & 12.*Euryopa* 98.5.C.A-*murius* & 9.Primus & 19.Nirellius & 23.Secũ*dus*, & 27.*Tertius*, 100.4.*Primus*, & 5.*Poteſta*, 102.14.*Fata cano*, 103.20.*inſerrent*: & *in marg. ludi ſec.* 104.5.*Elithyias*, & 7.*Atram* 106.10. *cum ei* 109.20.*occidant* 110.2.*quam* 112.18.*in marg*.XXVI. & 20.*terreſtri ne* & 22.*in margine* XXVII. 113.22.*grana* 115.21.*deum*, 117.9.*defectui* 121.23. *condidit*, 123.3.*ſcriptis inſigne* 126.7.*dele* & 128.10.*aucupij* 129.1.*iuxtà.* 132.22.*nequeunt* 133.(*qui numerus etiam eſt deprauatus*) 12.*quæ ei* 135.1.*ferendi penult.vtcunq;* 137.18.*fortè legend.pedes non habent.* 138.19.*À ſalamandra* & 20.*Ad Hypanim et vlt.careant* 140.1.*in marg*.XCVIII. & 6.*fortè,à teſtis nonnihil* & 13.*incitandi* 142. 24.*cæcis, claudos cæcosq;* 144.18.*aconæ* & 24.*pleroſq;* 151.*penult. immittantur* 152.17. *non ſecus quàm* 157.*penult.doctiſsima* 156.15.*illos*, 160.4.*è philoſophia* 162.18.*prouerbio*) 167.20.*obſeruabam* 174.11.*velint*, & 26. *Apollonium*, 176.4.*diſsoluendis, aut meteoris* 181.12.*emendare illa*, 183.13.*non ſit idem*, 184.15.*aduerſatur* 185.18.*aliud, quàm* & 23. *vertuntur*: 186.*vlt. appendicis* 187.*vlt.pone in marg. numerum* 3. 188.24.*tanto* 192.24. *quod poßit* 193.12.*decenter obeundam* 194.3.

pone

pone in mar.6. 199.4.tranquillitatem & 17.voluntate. & antepenult.intellectū, 201. 20.alicūde & 202. 13.neceſſariò & 22.quomodo 210. 9.itaq; 211. 14.ex æquo 213.vlt. pone in marg. 5. 223. 15. vitam degis & 20.quid ſit honore 227. 12.in marg.9. 231.16.eris 232.15. in margine 13. 233. 9. autem eſt, 235. 23.vtcūq; redigar? & vlt.Cum te 236.14.rebus & 17.vuulæ 240.1. in marg.2. 250.15. ratio non iubet. 252. dele numerum 2. in marg. 253 2.in margine 1. 254. 1.in margine 2. 261. 4.Bene eſſe, 273. 3.libidinem 27.19.concreſcere & 287.16.Homines, & 20.fertur ingredi, & in marg. 290. 4. ſubiectæ mutationes 292. 1.quoduis eſt 308. 4. aerei 312. vlt. ſemina ſint 315. 11 porcello 319. 1.pòſt autumnus ea.*

ΑΝΤΩΝΙ-

ΑΝΤΩΝΙΝΟΥ ΛΙΒΕΡΑΛΙΣ ΜΕΤΑΜΟΡΦΩ-σεων συναγωγή.

ΚΤΗΣΥΛΛΑ ἐγένετο Κεία τὸ γένος ἐξ Ἰουλίδος Ἀλκιδάμαντος θυγάτηρ· ταύτην ἰδὼν Ἑρμοχάρης Ἀθηναῖος χορεύουσαν Πυθίοις περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν Καρθαίᾳ, ἐπεθύμησεν αὐτῆς· καὶ ἐπιγράψας μῆλον, ἔρριψεν ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος· ἡ δὲ ἀνείλετο, καὶ ἀνέγνω. ἐγέγραπτο δὲ ὅρκος κατὰ τῆς Ἀρτέμιδος, ἦ μὴν γαμηθήσεσθαι Ἑρμοχάρει Ἀθηναίῳ. ἡ μὲν οὖν Κτήσυλλα ἀπέρριψε τὸ μῆλον αἰδεσθεῖσα, καὶ χαλεπῶς ἤνεγκεν, ὥσπερ ὅτε Κυδίππην Ἀκόντιος ἐξηπάτησεν. Ἑρμοχάρει δὲ αἰτησαμένῳ κατήνεσε τὸν γάμον ὁ πατὴρ ὁ τῆς Κτησύλλης. καὶ ὤμοσεν τὸν Ἀπόλλωνα τῆς δάφνης ἁψάμενος· ἐπεὶ δὲ διῆλθεν ὁ τῶν Πυθίων χρόνος, Ἀλκιδάμας ἐκλαθόμενος τὸν ὅρκον, ὃν ὤμοσεν, ἑτέρῳ συνῴκιζε τὴν θυγατέρα. καὶ ἡ παῖς ἔθυεν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ· χαλεπῶς δὲ φέρων Ἑρμοχάρης ἐπὶ τῷ τοῦ διαμαρτεῖν, εἰσέδρα-

Κτήσυλλα.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ.

μὲν εἰς τὸ Ἀρτεμίσιον· καὶ ἡ παῖς αὐτὸν ἰδοῦσα κατὰ θεῖον, ἠράσθη· καὶ συνθεμένη διὰ τῆς τροφοῦ διαλαθοῦσα τὸν πατέρα νύχιον, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας, καὶ γάμῳ ἐπελάχθη τῷ Ἑρμοχάρει· τεκοῦσα δ' ἡ Κτήσυλλα, καὶ χαλεπῶς ἐν τῷ τόκῳ διατεθεῖσα, ἐτελεύτησε κατὰ δαίμονα, ὅτι ὁ πατὴρ αὐτῆς ἐψεύσατο τὸν ὅρκον· καὶ τὸ μὲν σῶμα κομίσαντες, ἔφερον ὅπως κηδεύσωσιν· ἐκ δὲ τῆς στρωμνῆς πελειὰς ἐξέπτη, καὶ τὸ σῶμα τῆς Κτησύλλης ἀφανὲς ἐγένετο. Χρωμένῳ δ' Ἑρμοχάρει ὁ θεὸς ἀνεῖπεν ἱδρύσασθαι ἱερὸν παρὰ τοῖς Ἰουλιήταις ἐπώνυμον Ἀφροδίτης Κτησύλλης· ἔχρησε δὲ καὶ τοῖς Κείοις· οἱ δὲ θύουσι ἄχρι νῦν Ἰουλιῆται μὲν Ἀφροδίτῃ, Κτήσυλλαν ὀνομάζοντες, οἱ δὲ ἄλλοι Κτήσυλλαν Ἑκαέργην.

β'. Μελεαγρίδες.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ'.

Οἰνεὺς ὁ πορθέως τοῦ Ἄρεως, ἐβασίλευσεν ἐν Καλυδῶνι. καὶ ἐγένοντο αὐτῷ ἐξ Ἀλθαίας τῆς Θεστίου, Μελέαγρος, Φηρεύς, Ἀγέλεως, Τοξεύς, Κλύμενος, Περίφας· θυγατέρες δὲ Γόργη, Εὐρυμήδη, Δηϊάνειρα, Μελανίππη. ἐπεὶ δ' ἔθυεν ἀπαρχὰς ὑπὲρ τῆς χώρας, ἐκλανθάνεται τῆς Ἀρτέμιδος· αὕτη κατὰ μῆνιν, ἐφορμᾷ σῦν ἄγριον, ὃς κατέφθειρε τὴν γῆν καὶ πολλοὺς ἀπέκτεινεν. ἔπειτα Μελέαγρος, καὶ οἱ Θεστίου παῖδες συν-

ήγειραν

ἤγειρεν τοὺς ἀριστέας ἐκ τῆς Ἑλλάδος ἐπὶ τὸν σῦν· οἱ δὲ ἀφικόμενοι, κτείνουσιν αὐτόν· ὁ δὲ Μελέαγρος διανείμας τὰ κρέα αὐτοῦ τοῖς ἀριστεῦσιν, τὴν κεφαλὴν καὶ τὸ δέρος, ἐξαίρετον γέρας ἑαυτῷ· Ἄρτεμις δὲ ἐπεὶ τὸν ἱερὸν σῦν ἐκτῆναι, ἔτι μᾶλλον ἐχολώθη, καὶ νεῖκος ἐνέβαλεν αὐτοῖς· οἱ γὰρ παῖδες οἱ Θεστίου, καὶ οἱ ἄλλοι Κουρῆτες ἅπτονται τοῦ δέρους, φάμενοι μετεῖναι τὰ ἡμίσεα τῶν γερῶν ἑαυτοῖς· Μελέαγρος ἀφαιρεῖται κατὰ βίαν, καὶ κτείνει τοὺς Θεστίου παῖδας. Ἐκ ταύτης τῆς προφάσεως πόλεμος ἐγένετο Κουρῆσι καὶ Καλυδωνίοις· καὶ ὁ Μελέαγρος εἰς τὸν πόλεμον οὐκ ἐξῄει, μεμφόμενος ὅτι αὐτῷ κατηράσατο ἡ μήτηρ, διὰ τὸν τῶν ἀδελφῶν θάνατον· ἤδη δὲ τῶν Κουρήτων μελλόντων αἱρεῖν τὴν πόλιν, ἔπεισε τὸν Μελέαγρον ἡ γυνὴ Κλεοπάτρα τοῖς Καλυδωνίοις ἀμῦναι· ὁ δὲ ἀναστὰς ἐπὶ τὸν στρατὸν τῶν Κουρήτων, καὶ αὐτὸς ἀποθνήσκει, τῆς μητρὸς ἐμπρησάσης τὸν παρὰ τῶν μοιρῶν αὐτῇ δοθέντα δαλόν. Ἐπέκλωσαν γὰρ ἐπὶ τοσοῦτον αὐτὸν ἔσεσθαι χρόνον, ἐφ᾽ ὅσον ἂν ὁ δαλὸς διαμένῃ· ἀπέθανον δὲ καὶ οἱ ἄλλοι παῖδες Οἰνέως μαχόμενοι· καὶ πένθος ἐπὶ Μελεάγρῳ μέγιστον ἐγένετο παρὰ Καλυδωνίοις. Αἱ δὲ ἀδελφαὶ αὐτοῦ παρὰ τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως, ἄχρις αὐτὰς Ἄρτεμις ἁψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας, καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον ὀνομάσασα Με-

λεαγρίδας· αἱ δὲ ἄχρι νῦν ἐπὶ καθ' ὥραν ἔτους λέγονται πένθος ἐπὶ Μελεάγρῳ φορεῖν· δύο δὲ τῶν Ἀλθαίας θυγατέρων, Γόργην καὶ Δηϊάνειραν φασὶν κατ' εὐμένειαν Διονύσου μὴ μεταβαλεῖν, ὅτι τὴν χάριν αὐτῷ Ἄρτεμις δίδοι.

γ'. Ἱέραξ.

Ἱέραξ ἐγένετο ἐν τῇ Μαριανδυνῶν γῇ δίκαιος ἀνὴρ καὶ ἐπιφανής· οὗτος ἱερὰ Δήμητρος ἱδρύσατο, καὶ πλείστους αὐτῆς καρποὺς ἔλαβεν· ἐπεὶ δὲ Τεῦκροι κατὰ χρόνους τοὺς ἱκνουμένους οὐκ ἀπεδίδοσαν ἱερὰ Ποσειδῶνι, ἀλλὰ ὑπ' ὀλιγωρίας ὑπερέλειπον, χαλεπήνας Ποσειδῶν τοὺς μὲν ἐκείνης καρποὺς ἔφθειρε· κῆτος δ' ὑπερμέγιστον ἐκ τῆς θαλάσσης ἐφώρμησεν αὐτοῖς· οὐ δυνάμενοι δὲ πρὸς τὸ κῆτος καὶ τὸν λιμὸν ἀντέχειν, ἀπέστελλον οἱ Τεῦκροι πρὸς τὸν Ἱέρακα, καὶ ἐδέοντο πρὸς τὸν λιμὸν ἐπαμῦναι κἀκεῖνος ἔπεμπέ τε καὶ πυρὸν καὶ ἄλλην τροφήν· Ποσειδῶν δὲ μηνίσας, ἐπεὶ κατέλυσεν αὐτοῦ τὰς τιμάς, ἐποίησεν ὄρνιθα, ὃς ὀνομάζεται νῦν ἱέραξ· καὶ τὸ ἦθος ἤλλαξεν, ἀφανίσας. μέγιστα γὰρ ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ἐποίησεν ὑπὸ τῶν ὀρνέων μισηθῆναι· καὶ πολλοὺς ἀνθρώπους ἀποθανεῖν κωλύσαντα, πλείστους ἐποίησεν αὐτὸν ὀρνίθων ἀποκτεῖναι.

Ἱστορεῖ Βοῖος ὀρνιθογονίᾳ.

δ'. Κραγαλεύς.

Κραγαλεὺς ὁ Δρύοπος, ᾤκει γῆς τῆς Δρυοπίδος παρὰ τὰ λουτρὰ τὰ Ἡρακλέους· ἃ μυθο-

λογοῦ-

λέγουσιν Ἡρακλέα πλήξαντα τῇ κορύνῃ τὰς πλάκας τοῦ ὄρους ἀναβαλεῖν· ὁ δὲ Κραγαλεὺς οὗτος ἐγεγόνει γηραιὸς ἤδη, καὶ τοῖς ἐγχωρίοις ἐνομίζετο δίκαιος εἶναι, καὶ φρόνιμος· καὶ αὐτῷ νέμοντι βοῦς προσάγουσιν Ἀπόλλων καὶ Ἄρτεμις καὶ Ἡρακλῆς κριθησόμενοι περὶ Ἀμβρακίας τῆς ἐν Ἠπείρῳ· καὶ ὁ μὲν Ἀπόλλων ἑαυτῷ προσήκειν ἔλεγε τὴν πόλιν, ὅτι Μελανεὺς υἱὸς ἦν αὐτοῦ, βασιλεύσας μὲν Δρυόπων, καὶ πολέμῳ λαβὼν τὴν πᾶσαν Ἤπειρον, γεννήσας δὲ παῖδας, Εὔρυτον καὶ Ἀμβρακίαν, ἐφ' ἧς ἡ πόλις Ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα, χαρίσασθαι τοῦτο τῇ πόλει· Σισυφίδας μὲν γὰρ αὐτοῦ προστάξαντος ἀφικομένους, κατορθῶσαι τὸν πόλεμον Ἀμβρακιώταις, τὸν γενόμενον αὐτοῖς πρὸς Ἠπειρώτας. Γόργον δὲ τὸν ἀδελφὸν Κυψέλου κατὰ τοὺς αὐτοῦ χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν ἐκ Κορίνθου· Φαλαίκῳ δὲ τυραννοῦντι τῆς πόλεως αὐτοῦ κατὰ μαντείαν Ἀμβρακιώτας ἐπαναστῆναι· καὶ παρὰ τοῦτο πολλοὺς ἀνελέσθαι τὸν Φάλαικον· τὸ δὲ ὅλον, αὐτὸς ἐν τῇ πόλει παῦσαι πλειστάκις ἐμφύλιον πόλεμον καὶ ἔριδας, καὶ στάσεις, ἐμποιῆσαι· ἀντὶ τούτων δ' εὐνομίαν καὶ θέμιν καὶ δίκην. ὅθεν αὐτὸν ἔτι νῦν παρὰ τοῖς Ἀμβρακιώταις, Σωτῆρα Πύθιον ἐν ἑορταῖς καὶ εἰλαπίναις ᾄδε-

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α. καὶ Ἀθανάδας Ἀμβρακικοῖς.

σθαι. Ἄρτεμις δὲ τὸ μὲν νεῖκος κατέπαυε, τὸ δὲ πρὸς τὸν Ἀπόλλωνα· παρ' ἐκείνους δ' ἠξίου τὴν Ἀμβρακίαν ἔχειν· ἐφίεσθαι γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην. ὅτε Φάλαικος ἐτυράννευε τῆς πόλεως, οὐδενὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν, αὐτὴ κυνηγετοῦντι τῷ Φαλαίκῳ προφῆναι σκύμνον λέοντος· ἀναλαβόντος δὲ εἰς τὰς χεῖρας, ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν μητέρα, καὶ προσπεσοῦσαν ἀναρρῆξαι τὰ στέρνα τοῦ Φαλαίκου· τοὺς δ' Ἀμβρακιώτας ἐκφυγόντας τὴν δουλείαν, Ἄρτεμιν ἡγεμόνην ἱλάσασθαι. καὶ ποιησαμένους ἀγροτέρης εἴκασμα παραστήσασθαι χάλκεον αὐτῷ θῆρα. ὁ δὲ Ἡρακλῆς ἀπεδείκνυεν Ἀμβρακίαν τε, καὶ τὴν σύμπασαν Ἤπειρον οὖσαν ἑαυτοῦ· πολεμήσαντας γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας καὶ Θεσπρωτοὺς καὶ σύμπαντας Ἠπειρώτας, ὑπ' αὐτοῦ κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συνελθόντες ἀφελέσθαι· χρόνῳ δ' ὕστερον λαὸν ἐποίκων ἐλθεῖν ἐκ Κορίνθου, καὶ τοὺς πρόσθεν ἀναστήσαντας Ἀμβρακίαν συνοικίσαι· Κορίνθιοι δὲ πάντες εἰσὶν ἀφ' Ἡρακλέους· ἃ διακούσας ὁ Κραγαλεύς, ἔγνω τὴν πόλιν Ἡρακλέους εἶναι. Ἀπόλλων δὲ κατ' ὀργὴν ἁψάμενος αὐτοῦ τῇ χειρί, πέτρον ἐποίησεν, ἵνα περ εἱστήκει· Ἀμβρακιῶται δὲ Ἀπόλλωνι μὲν σωτῆρι θύουσι, τὴν δὲ πόλιν Ἡρακλέους καὶ τῶν ἐκείνου παίδων νενομίκασι· Κραγα

Περὶ Φαλαίκου.

λεῖ

λεῖ δὲ μετὰ τὴν ἑορτὴν τῇ Ἡρακλέους ἔνθεμα θύου-
σιν ἄχρι νῦν. Ἄνθεος τοῦ Νομίονος ἐγένετο ι. Αἰγυπιός.
παῖς Αἰγυπιός· ᾤκει δὲ παρὰ τὴν ἐσχατιὰν τῆς Θεσ-
σαλίας· καὶ αὐτὸν ἐφίλησαν θεοὶ ὁσιότητος ἕνε-
κα, οἱ ἄνθρωποι, ὅτι ἦν μεγαλόφρων καὶ δί-
καιος· οὗτος ἰδὼν Τιμάνδραν ἠράσθη· μαθὼν
δ' ὅτι ἀνδρὸς ἦν χήρα, πείσας χρήμασιν, ἐμί-
γνυτο φοιτῶν εἰς τὰ ἐκείνης οἰκεῖα· πρὸς δὲ τοῦ-
το Νεόφρων ὁ παῖς τῆς Τιμάνδρας, χαλεπῶς
εἶχε· τῷ Αἰγυπιῷ δ' ἦν ἡλικιώτης· κἀκείνῳ δό-
λον ἐβούλευε, δοὺς πλεῖστα δῶρα, καὶ ἀναπείσας
Βουλίδα τὴν Αἰγυπιοῦ μητέρα, καὶ ἀγαγὼν εἰς
τὰ οἰκεῖα συνάζεται σὺν αὐτῇ· προμαθὼν δὲ τὴν
ὥραν, ἣν εἰώθει παρὰ Τιμάνδραν ὁ Αἰγυπιὸς φοι-
τᾶν· τὴν μὲν αὐτοῦ μητέρα, καθ' ἥντινα πρόφα-
σιν ἐκ τῆς οἰκίας μετέστησεν· ἀντὶ δ' ἐκείνης τὴν
Αἰγυπιοῦ μητέρα παρήγαγεν εἰς τὸν οἶκον, ὡς ἐπα-
νήξων πρὸς αὐτήν, καὶ ἀμφοτέρους ἐξηπάτησεν·
Αἰγυπιὸς δ' οὐδὲν ὑποδιελεξάμενος ὧν εἰς αὐτὸν
ἐμηχανᾶτο Νεόφρων, μίγνυται τῇ μητρί, δο-
κῶν εἶναι Τιμάνδραν· καὶ ἐπεὶ αὐτὸν ὕπνος
ἔλαβεν, ἡ Βουλὶς ἔγνω τὸν παῖδα τὸν ἑαυτῆς, καὶ
ἀναλαβοῦσα ξίφος, ἐβούλευεν ἐκείνου μὲν τὰς
ὄψεις ἀφελέσθαι, ἑαυτὴν δὲ κτεῖναι· βουλῇ
δ' Ἀπόλλωνος ἀνίησι τὸν Αἰγυπιὸν ὁ ὕπνος· ὁ
δὲ γνοὺς οἷον ἔργον ἐμηχανήσατο Νεόφρων

ἐπ' αὐτῷ, καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψασα, ηὔξατο σὺν ἑαυτῷ πάντα ἀφανισθῆναι. Ζεὺς δὲ μετέβαλεν εἰς ὄρνιθας. καὶ ἐγένοντο Αἰγυπιὸς μὲν καὶ Νεόφρων, αἰγυπιοὶ ὁμώνυμοι. Χρόαν δὲ καὶ μέγεθος, οὐχ ὅμοιοι, ἀλλὰ ἐλάττων ὄρνις αἰγυπιὸς ἐγένετο Νεόφρων· ἡ δὲ Βουλὶς ἐγένετο πῶϋγξ, καὶ αὐτῇ τροφὴν ἔδωκεν ὁ Ζεὺς, μηδὲν ἐκ γῆς φυόμενον, ἀλλὰ ἐσθίειν ὀφθαλμοὺς ἰχθύος ἢ ὄρνιθος, ἢ ὄφεως, ὅτι ἔμελλεν Αἰγυπιοῦ τοῦ παιδὸς ἀφελέσθαι τὰς ὄψεις· Τιμάνδρην δὲ ἐποίησεν αἰγιθαλλὸν, καὶ ἐφάνησαν ἐπὶ ταύτην οὐδέποθ' οἱ ὄρνιθες οὗτοι.

ς'. Περίφας Περίφας ἐγένετο ἐν τῇ Ἀττικῇ αὐτόχθων, πρόσθεν ἢ φανῆναι Κέκροπα τὸν γῆς· οὗτος ἐβασίλευσε τῶν ἀρχαίων ἀνθρώπων, καὶ ἐγένετο δίκαιος καὶ πλούσιος καὶ ὅσιος, καὶ ἱερὰ πλεῖστα ἐποίησεν Ἀπόλλωνι, δίκας τε πλείστας ἐδίκασε, καὶ αὐτὸν ἐμέμψατ' ἄνθρωπος οὐδεὶς, ἀλλὰ ἑκόντων ἦρχε πάντων, καὶ πρὸς ὑπερβολὴν αὐτοῦ τῶν ἔργων, μετέβαλον οἱ ἄνθρωποι τὰς τιμὰς τοῦ Διὸς, καὶ ἔγνωσαν αὐτὰς εἶναι Περίφαντος, καὶ ἱερὰ καὶ ναοὺς ἐποίησαν αὐτοῦ, καὶ Δία Σωτῆρα προσηγόρευσαν καὶ ἐπόψιον καὶ μειλίχιον· Ζεὺς δὲ νεμεσήσας, ἐβούλετο τὴν σύμπασαν αὐτοῦ τὴν οἰκίαν κεραυνῷ συμφλέξαι· δεηθέντος δ' Ἀπόλλωνος μὴ αὐτὸν ἀπολέ

σθαι

θαι πανώλεθρον, ἐπεί περ ἴσος αὐτὸν ἐτίμα, τοῦτο μὲν Ἀπόλλωνι δίδωσι· Ζεὺς δ' ἐλθὼν εἰς τὰ οἰκία τοῦ Περίφαντος, καὶ καταλαβὼν ὁμιλοῦντα τῇ γυναικὶ, πιέσας ἀμφοτέραις ταῖς χερσὶν, ἐποίησεν ὄρνιθα αἰετόν· τὴν δὲ γυναῖκα αὐτοῦ, δεηθεῖσαν καὶ αὐτὴν ὄρνιθα ποιῆσαι σύννομον τῷ Περίφαντι, ἐποίησε φήνην· καὶ τῷ μὲν Περίφαντι δωρεῖται τιμὰς ἀντὶ τῆς ἐν ἀνθρώποις ὁσιότητος· ποιεῖ γὰρ αὐτὸν ἐν πᾶσι τοῖς ὄρνισι βασιλέα, καὶ δίδωσι φυλάσσειν τὸ ἱερὸν σκῆπτρον, καὶ προσιέναι πρὸς τὸν ἑαυτοῦ θρόνον· τῇ γυναικὶ δὲ τοῦ Περίφαντος ἣν ἐποίησε φήνην, δίδωσι πρὸς ἅπασαν πρᾶξιν ἀνθρώποις αἰσίαν ἐπιφαίνεσθαι.

Αὐτονόου τοῦ Μελανέως καὶ Ἱπποδαμείας ἐγένοντο υἱοὶ μὲν Ἐρωδιὸς καὶ Ἄνθος· Σχοινεὺς Ἄκανθος· θυγάτηρ δὲ Ἀκανθὶς, ᾗ κάλλιστον εἶδος ἔδωκαν οἱ θεοί· τῷ δὲ Αὐτονόῳ τούτῳ ἐγένοντο ἵππων ἀγέλαι πλεῖσται, καὶ ἔνεμον αὐτὰς Ἱπποδάμεια τούτου γυνὴ, καὶ οἱ παῖδες αὐτῶν. ἐπεὶ δὲ Αὐτονόῳ γῆν ἔχοντι πλείστην, οὐδεὶς καρπὸς ἐφαίνετο, κατ' ὀλιπωρίαν ἔργων, ἀλλ' ἔφερεν αὐτῷ σχοίνους ὁ χῶρος καὶ ἀκάνθας, ἀπ' αὐτῶν ὠνόμασε τοὺς παῖδας, Ἄκανθον καὶ Σχοινέα, καὶ Ἀκανθίδα. καὶ τὸν πρεσβύτατον Ἐρωδιὸν, ἐπεὶ αὐτὸν ἠρώησεν ὁ χῶρος· οὗτος ὁ Ἐρωδι-

ζʹ. Ἄνθος.

Ἱστορεῖ Βοῖος ὀρνιθογονίας ά

διὸς πλεῖστον ἐφίλησε τὰς ἀγέλας τῶν ἵππων καὶ ἔτρεφον αὐτὰς ἐν τῷ λειμῶνι· ἐπεὶ δὲ Ἄνθος ὁ τοῦ Αὐτονόου παῖς ἐξήλασε τὰς ἵππους ἐκ τοῦ λειμῶνος, αὗται εἰργόμεναι τροφῆς, ἐξεθύμηναν, καὶ τὸν Ἄνθον ἐπιστᾶσαι κατεβίβρωσκον καὶ πλεῖστα ἐπιβοώμενον ἀμῦναι τοὺς θεούς· ὁ μὲν οὖν πατὴρ ὑπὸ ἄχους ἐκπλαγείς, ὤκνησεν ἀπελάσαι τὰς ἵππους, καὶ ὁ θεράπων τοῦ παιδός. ἡ δὲ μήτηρ διεμάχετο πρὸς τὰς ἵππους, ἀλλὰ διὰ τὴν τοῦ σώματος ἀσθένειαν οὐδὲν ἐδυνήθη πρὸς τὸν ὄλεθρον ἐπαμῦναι· Κακεῖνοι μὲν οὕπω τεθνεῶτα τὸν Ἄνθον ἔκλαιον· Ζεὺς δὲ καὶ Ἀπόλλων οἰκτείραντες πάντας αὐτοὺς ἐποίησαν ὄρνιθας· Αὐτόνοον μὲν εἰς τὸν ὄκνον, ὅτι αὐτὸς ὁ πατὴρ ὤκνησεν ἀπελάσαι τὰς ἵππους· τὴν δὲ μητέρα Κορυδόν, ὅτι ἐκορύσσετο πρὸς τὰς ἵππους, μαχομένη περὶ τοῦ παιδός· αὐτὸν δὲ τὸν Ἄνθον, καὶ τὸν Ἐρωδιόν, καὶ Σχοινέα, καὶ Ἄκανθον καὶ Ἀκανθυλλίδα γενομένους ὄρνιθας, τῷ αὐτῷ ἐποίησαν ὀνόματι καλεῖσθαι, καθὰ καὶ πρὶν ἢ μεταβαλεῖν αὐτοὺς ὠνομάζοντο· τὸν δὲ θεράποντα τὸν ὀπηδὸν τοῦ Ἄνθου κατὰ ταῦτα τῷ ἀδελφῷ τοῦ παιδὸς ἐποίησαν Ἐρωδιόν, ἀλλ' οὐχ ὅμοιον· ἥσσων γάρ ἐστιν ἱκανῶς τοῦ πελλοῦ· καὶ οὐ γίνεται σύνεδρος οὗτος ὁ Ἐρωδιὸς ἄνθῳ, καθάπερ οὐδ' ὁ ἄνθος τῷ ἐφίππῳ, ὅτι μέγιστα κακὰ ἔπαθεν

ὁ Ἄν-

ὁ Ἄνθος ὑπὸ τῶν ἵππων· καὶ ἔτι νῦν ὅταν ἀκούσῃ φωνοῦντος ἵππου, φεύγει μιμούμενος ἅμα τὴν φωνήν.

Παρὰ τὰ σφυρὰ τοῦ Παρνασοῦ πρὸς νότον, ὄρος ἐστὶν, ὃ καλεῖται Κίρφις, παρὰ τὴν Κρίσαν, καὶ ἐν αὐτῷ ἐστὶν ἔτι νῦν σπήλαιον ὑπερμέγεθες, ἐν ᾧ θηρίον ᾤκει μέγα καὶ ὑπερφυὲς, καὶ αὐτὸ Λαμίαν, οἱ δὲ Σύβαριν ὠνόμαζον· τοῦτο καθ' ἡμέραν ἑκάστην τὸ θηρίον ἐπιφοιτῶν ἀνήρπαζεν ἐκ τῶν ἀγρῶν τὰ θρέμματα καὶ τοὺς ἀνθρώπους· ἤδη δὲ τῶν Δελφῶν βουλευομένων ὑπὲρ ἀναστάσεως καὶ χρηστηριαζομένοις εἰς ἥν τινα παρέσονται χώραν· ὁ θεὸς ἀπόλυσιν ἐσήμαινε τῆς συμφορᾶς, εἰ μένοντες ἐθέλοιεν ἐκθεῖναι παρὰ τῷ σπηλαίῳ ἕνα κοῦρον τῶν πολιτῶν· καὶ κεῖνοι καθάπερ ὁ θεὸς εἶπεν ἐποίουν. Κληρουμένων δ', ἔλαχεν Ἀλκυονεὺς ὁ Διόμου καὶ Μεγανείρης παῖς, μονογενὴς ὢν τῷ πατρὶ, καὶ καλὸς καὶ κατὰ τὴν ὄψιν, καὶ τὸ τῆς ψυχῆς ἦθος· καὶ οἱ μὲν ἱερεῖς τὸν Ἀλκυονέα στέψαντες, ἀπήγαγον εἰς τὸ τῆς Συβάριδος σπήλαιον· Εὐρύβατος δὲ κατὰ δαίμονα ἐκ τῆς Κουρήτιδος ἀπιὼν ὁ Εὐφήμου παῖς, γένος μὲν ἔχων Ἀξίου τοῦ ποταμοῦ, νέος δ' ὢν καὶ γενναῖος, ἐνέτυχεν ἀγομένῳ τῷ παιδὶ, πληγεὶς ἔρωτι, καὶ πυθόμενος καθ' ἥν τινα πρόφασιν ἐξάγεται, δεινὸν ἐποιήσατο μὴ οὐκ ἀμῦναι πρὸς

δύναμιν

ἡ. Λαμία, ἢ Σύβαρις.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄.

δυνάμιν, ἀλλὰ πολὺ ἰδεῖν οἰκτρῶς ἀναιρεθέντα τὸν παῖδα· περισπάσας οὖν ἀπὸ τοῦ Ἀλκυονέως τὰ στέμματα, καὶ αὐτὸς ἐπὶ τὴν κεφαλὴν ἐπιθέμενος, ἐκέλευεν ἀπάγειν ἑαυτὸν ἀντὶ τοῦ παιδός. ἐπεὶ δὲ αὐτὸν οἱ ἱερεῖς ἀπήγαγον, εἰσδραμὼν καὶ τὴν Σύβαριν ἐκ τῆς κοίτης συναρπάσας, προήνεγκεν εἰς ἐμφανὲς, καὶ κατὰ τῶν πετρῶν ἔρριψεν· ἡ δὲ καταφερομένη, προσέκρουσε τὴν κεφαλὴν πρὸς τὰ σφυρὰ τῆς κρίσης· καὶ αὐτὴ μὲν ἐκ τοῦ τραύματος ἀφανὴς ἐγένετο· ἐκ δὲ τῆς πέτρας ἐκείνης ἀνεφάνη πηγή, καὶ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι Σύβαριν· ἐκ δὲ ταύτης καὶ Λοκροὶ πόλιν ἐν Ἰταλίᾳ Σύβαριν ἔκτισαν.

θ'. Ἠμαθίδες.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Ζεὺς Μνημοσύνῃ μιγεὶς ἐν Πιερίᾳ Μούσας ἐγέννησεν. ὑπὸ δὲ τὸν χρόνον τοῦτον ἐβασίλευσε Πίερος αὐτόχθων, Ἠμαθίας. καὶ αὐτῷ θυγατέρες ἐγένοντο ἐννέα, καὶ χορὸν ἐναντίον ἔστησαν αὗται μούσαις, καὶ ἀγὼν ἐγένετο μουσικῆς ἐν τῷ Ἑλικῶνι· ὅτε μὲν οὖν αἱ θυγατέρες ᾄδοιεν τοῦ Πίερος, ἐπήχλυεν πάντα, καὶ οὐδὲν ὑπήκουεν πρὸς τὴν χορείαν. ὑπὸ δὲ μουσῶν ἵστατο μὲν οὐρανὸς, καὶ ἄστρα, καὶ θάλασσα, καὶ ποταμοί, ὁ δ' Ἑλικὼν ηὔξετο κηλούμενος ὑφ' ἡδονῆς εἰς τὸν οὐρανὸν, ἄχρις αὐτὸν βουλῇ Ποσειδῶνος ἔπαυσεν ὁ Πήγασος, τῇ ὁπλῇ τὴν κορυφὴν πατάξας· ἐπεὶ δὲ νεῖκος ἤρατο θνηταὶ θεαῖς. μετέβαλον αὐτὰς αἱ μοῦσαι, καὶ ἐποίησαν

σαν ὄρνιθας ἐννέα· καὶ ἔτι νῦν ὀνομάζονται παρ' ἀνθρώποις, κολυμβάς, ἴυγξ, κεγχρίς, κίσσα, χλωρεὺς, ἀκαλανθὶς, νῆσσα, πιπὼ, δρακοντίς.

Μινύου τοῦ ὀρχομενίου ἐγένοντο θυγατέρες, Λευκίππη, Ἀρσίππη, Ἀλκαθόη· καὶ ἀπέβησαν ἔκτοπως φιλόεργοι· πλεῖστα δὲ καὶ τὰς ἄλλας γυναῖκας ἐμέμφοντο, ὅτι ἐκλιποῦσαι τὴν πόλιν, ἐν τοῖς ὄρεσιν ἐβάκχευον· ἄχρι Διόνυσος εἰκασθεὶς κόρῃ παρῄνεσεν αὐταῖς μὴ ἐκλείπειν τελετὰς ἢ μυστήρια τοῦ θεοῦ. αἱ δὲ οὐ προσεῖχον· πρὸς δὴ ταῦτα χαλεπήνας ὁ Διόνυσος, ἀντὶ κόρης ἐγένετο ταῦρος, καὶ λέων, καὶ πάρδαλις, καὶ ἐκ τῶν κελεόντων ἐρρύη νέκταρ. αὐτῷ καὶ γάλα· πρὸς δὲ τὰ σημεῖα τὰς κόρας ἔλαβε δεῖμα. καὶ μετ' οὐ πολὺ κλήρους εἰς ἄγγος αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δ' ὁ κλῆρος ἐξέπεσε Λευκίππης, εὔξατο θῦμα τῷ θεῷ δώσειν. καὶ Ἵππασον τὸν ἑαυτῆς παῖδα διέσπασε σὺν ταῖς ἀδελφαῖς· καταλιποῦσαι δὲ τὰ οἰκεῖα τοῦ πατρὸς, ἐβάκχευον ἐν τοῖς ὄρεσιν, καὶ ἐνέμοντο κισσὸν, καὶ μίλακα, καὶ δάφνην, ἄχρις αὐτὰς Ἑρμῆς ἁψάμενος τῇ ῥάβδῳ, μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν μὲν ἡ μὲν ἐγένετο νυκτερὶς, ἡ δὲ γλαῦξ, ἡ δὲ βύζα· ἔφυγον δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου.

ι. Μινυάδες.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ. καὶ Κόριννα.

Πανδάρεως ᾤκει τῆς γῆς τῆς Ἐφεσίας, ἵν' ἐστὶ νῦν ὁ πρηὼν παρὰ τὴν πόλιν, ᾧ δίδωσι Δημήτηρ δῶρον

Ἀηδών. ια.

δῶρον μηδέ ποτε βαρυνθῆναι τὴν γαστέρα ὑπὸ σιτίων, ὁπόσον ἂν πλῆθος εἰσενέγκηται· ἐγένετο δὲ

Ἱστορεῖ Βοῖος ἐν ὀρνιθογονίᾳ.

Πανδάρεω θυγάτηρ Ἀηδὼν· ταύτην Πολύτεχνος ὁ τέκτων ἔγημεν, ὃς ᾤκει ἐν Κολοφῶνι τῆς Λυδίας, καὶ πλεῖστον χρόνον ἐτέρποντο συνοικοῦντες ἀλλήλοις· ἐγένετο δ᾽ αὐτοῖς παῖς μονογενὴς Ἴτυς· ἄχρι μὲν οὖν θεοὺς ἐτίμων, εὐδαίμονες ἦσαν· ἐπεὶ δὲ λόγον ἀχρεῖον ἀπέρριψαν, ὅτι πλέον ἀλλήλους Ἥρας καὶ Διὸς φιλοῦσιν, καὶ Ἥρα μεμψαμένη τὸν λόγον, Ἔριν αὐτοῖς ἔπεμψεν, ἡ δὲ νεῖκος ἐνέβαλεν εἰς τὰ ἔργα· καὶ Πολυτέχνῳ μὲν ὀλίγον ἦν ἔτι δίφρον ἁρμάτειον ἐκποιῆσαι, Ἀηδόνι δὲ τὸν ἱστὸν ἐξυφῆναι, καὶ συντίθενται εἰς ἀλλήλους, ὅπως ἂν τάχιον ἀνύσῃ τὸ ἔργον, τούτῳ θεράπαιναν παρὰ τοῦ ἑτέρου γίνεται. ἐπειδὴ θᾶσσον ἡ Ἀηδὼν τὸν ἱστὸν ἐξύφαινε, (Ἥρα γὰρ αὐτῇ συνελάμβανεν) ὁ Πολύτεχνος ἀχθόμενος τῇ νίκῃ τῆς Ἀηδόνος, προσεποιήσατο πεμφθῆναι, ὅπως αὐτῇ Χελιδόνα τὴν ἀδελφὴν ἀναπαγάγῃ· καὶ ὁ Πανδάρεως οὐδὲν ὑπονοήσας πονηρὸν δίδωσιν ἀπάγειν. ὁ δὲ Πολύτεχνος παραλαβὼν τὴν κόρην ᾔσχυνεν ἐν τῇ λόχμῃ, καὶ ἄλλοις ἠμφίεσεν αὐτὴν ἐσθήμασι, καὶ τῆς κεφαλῆς ἀπέκειρε τὴν κόμην, καὶ ἠπείλησε θάνατον, εἰ ἐξερεῖ ποτε ταῦ-

τα πρὸς τὴν Ἀηδόνα· καὶ ὁ μὲν ἐλθὼν εἰς τὰ οἰκία παραδίδωσι τῇ Ἀηδόνι κατὰ τὰ συγκείμενα, ὡς θεράπαιναν, τὴν ἀδελφήν· ἡ δὲ αὐτὴν διέφθειρε πρὸς τὰ ἔργα, μέχρις ἡ Χελιδονὶς ἔχουσα κάλπιν πλεῖσα παρὰ τὴν κρηνίδα κατωδύρετο, καὶ αὐτῆς ἐπηκροάσατο τὸν λόγον ἡ Ἀηδών· ἐπεὶ δὲ ἀλλήλας ἔγνωσαν καὶ ἠσπάσαντο, ἐπεβούλευον τῷ Πολυτέχνῳ συμφοράν· καὶ τὸν παῖδα κατακόψασαι τὰ κρέα ἐν λέβητι συνθεῖσαι, ταῦτα μὲν ἧψον· Ἀηδὼν δὲ φράσασα πρὸς ἑαυτῆς γείτονα, εἰπεῖν Πολυτέχνῳ δαίσασθαι τῶν κρεῶν. ἀφίκετο σὺν τῇ ἀδελφῇ πρὸς τὸν πατέρα Πανδάρεων, καὶ ἐδήλωσεν οἵα ἐχρήσατο συμφορᾷ· Πολύτεχνος δὲ μαθὼν ὅτι τοῦ παιδὸς ἐδαίσατο τὰ κρέα, μετεδίωξεν αὐτὰς ἄχρις πρὸς τὸν πατέρα, καὶ αὐτὸν οἱ θεράποντες οἱ τοῦ Πανδάρεου συνέλαβον καὶ ἔδησαν ἀφύκτῳ δεσμῷ, ὅτι ἐνελωβᾶτο εἰς τὸν οἶκον τοῦ Πανδαρέου, καὶ τὸ σῶμα ἐναλείψαντες μέλιτι, κατέβαλον εἰς τὰ ποίμνια· καὶ Πολύτεχνον μὲν αἱ μυῖαι προσίζουσαι, ἐλυμαίνοντο· Ἀηδὼν δὲ οἰκτείρασα πρὸς τὴν παλαιὰν φιλίαν, ἀπείργεν ἐκ τοῦ Πολυτέχνου τὰς ἐσόβησαν μυίας· ἐπεὶ δὲ αὐτὸ κατεφωράθησαν οἱ γονεῖς τε καὶ ὁ ἀδελφός, μισήσαντες, ἐνεχείρησαν ἀποκτεῖναι. Ζεὺς δὲ πρὸ τοῦ μεῖζον κακὸν ἐμπεσεῖν τῷ οἴκῳ,

τὸν

τὸν Πανδάρεον οἰκτείρας, ἐποίησε πάντας ὄρνιθας· καὶ οἱ μὲν αὐτῶν ἐξεπήδησαν ἄχρι πρὸς τὴν θάλασσαν, οἱ δὲ εἰς τὸν ἀέρα. Πανδάρεος μὲν οὖν ἐγένετο ἁλιαίετος· ἡ δὲ μήτηρ τῆς Ἀηδόνος, ἀλκυών· καὶ εὐθὺς ἐβούλοντο καταβαλεῖν ἑαυτοὺς εἰς τὴν θάλασσαν. ἀλλὰ Ζεὺς ἐκώλυσεν· οὗτοι τοῖς πλέουσιν οἱ ὄρνιθες αἴσιοι φαίνονται· Πολύτεχνος δὲ μεταβαλὼν ἐγένετο πελεκᾶν, ὅτι Ἥφαιστος αὐτῷ πέλεκυν ἔδωκε τεκταίνοντι· καὶ ἔστιν ἀγαθὸς οὗτος ὁ ὄρνις φανεὶς τέκτονι· ὁ δὲ τῆς Ἀηδόνος ἀδελφὸς ἐγένετο ἔποψ αἴσιος καὶ πλέουσι καὶ ἐπὶ γῆς φανείς· σὺν ἁλιαιέτῳ δὲ ἢ ἀλκυόνι μᾶλλον· Ἀηδὼν δὲ καὶ χελιδονὶς ἡ μὲν παρὰ ποταμοὺς καὶ λόχμας τὸν παῖδα τὸν Ἴτυν θρηνεῖ· Χελιδονὶς δ' ἐγένετο σύνοικος ἀνθρώποις Ἀρτέμιδος βουλῇ, διότι κατ' ἀνάγκας ἐκλιποῦσα τὴν παρθενίαν, πλεῖστα τὴν Ἄρτεμιν ἐπεβοήσατο.

Κύκνος. ιβ'.

Ἀπόλλωνος καὶ Θυρίης τῆς Ἀμφινόμου παῖς ἐγένετο Κύκνος· οὗτος ἦν εὐσχήμων τὴν ὄψιν, τὸ δὲ ἦθος ἄχαρις καὶ ἄγροικος· πρὸς κυνηγέσια ἐκτόπως φιλότιμος· ᾤκει δ' ἐπὶ τῶν ἀγρῶν διὰ μέσον Πλευρῶνος καὶ Καλυδῶνος· ἐγένοντο δ' αὐτοῦ καὶ ἐρασταὶ πλεῖστοι διὰ τὸ κάλλος· ὁ δὲ Κύκνος καθ' ὑπεροψίαν προσίετο αὐτῶν οὐδένα, τάχιστα δὲ διαμισηθεὶς ἀπὸ μὲν τῶν ἄλλων ἐραστῶν καταλείπεται· Φύλιος δὲ

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ'. καὶ Ἀρεὺς ὁ Λάκων ἐν ἄσματι κύκνῳ.

μόνος

μόνος αὐτῷ συνέμεινεν. ὁ δὲ καὶ τοῦτον οὐ με-
τρίως ἐξύβρισεν· ἐφάνη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ
μέγα τι χρῆμα λέοντος ἐν Αἰτωλοῖς, ὃς αὐ-
τούς τε καὶ τὰ θρέμματα διελυμαίνετο. τοῦ-
τον οὖν τῷ Φυλίῳ προσέταξεν ὁ Κύκνος ἄνευ
σιδήρου κτεῖναι· καὶ κεῖνος ὑπέσχετο καὶ ἀνεῖλε
μηχανῇ τοιαύτῃ· εἰδὼς ἥν τινα ὥραν ἔμελλον ὁ
λέων ἐπιφοιτήσειν, ἐνέπλησε τὴν γαστέρα
πολλῶν σιτίων καὶ οἴνου· καὶ ἐπεὶ προσεπέλασεν
ὁ θὴρ, ἐξήμεσεν ὁ Φύλιος τὰ σιτία· καὶ ὁ λέων
ὑπὸ λιμοῦ τροφῇ ταύτῃ χρησάμενος, ἐχαρα-
κώθη ὑπὸ τοῦ οἴνου· ὁ δὲ Φύλιος περιβαλὼν
τὸν βραχίονα τῇ ἐσθῆτι ἣν ἐφόρει, ἔφραξε τὸ στόμα
τοῦ λέοντος· ἀνελὼν δὲ αὐτὸν καὶ ἀναθέμενος
ἐπὶ τὸν ὦμον, ἀπήνεγκε πρὸς τὸν κύκνον· καὶ
διεβοήθη παρὰ πολλοῖς ἐπὶ τῷ κατορθώματι τού-
τῳ· ὁ δὲ Κύκνος ἕτερον ἆθλον ἐπέταττεν ἀτο-
πώτερον· ἐγένοντο γὰρ ἐν τῇ γῇ ταύτῃ γῦπες,
ὑπερφυεῖς τι καὶ μέγα χρῆμα, καὶ πολλοὺς
ἀπεκτίννυον ἀνθρώπους· τούτους ἐκέλευε συλ-
λαβεῖν ζῶντας, καὶ ἀπενεγκεῖν ἔξω πάσῃ μη-
χανῇ· ἀπορουμένῳ δὲ τῷ Φυλίῳ πρὸς τὸ ἐπί-
ταγμα, κατὰ θεὸν ἀετὸς ἡρπαγὸς λαγωὸν ἡμιθνῆ-
τα κατέβαλε πρὶν ἀπενεγκεῖν εἰς τὰ οἰκεῖα· ὁ
δὲ Φύλιος ἀναῤῥήξας τὸν λαγωὸν καὶ τοῦ αἵμα-
τος ἑαυτὸν ἀναπλήσας ἐπὶ τῆς γῆς ἔκειτο· οἱ

μὲν οὖν ὄρνιθας ὡς ἐπὶ νεκρὸν ὥρμησεν· ὁ δὲ Φύλιος πέσσας τῶν σφυρῶν δύο, καὶ καταχὼν ἀπήνεγκεν πρὸς τὸν Κύκνον· ὁ δὲ αὐτῷ τρίτον ἔτι χαλεπώτερον ἆθλον ἐπέταξεν· ἐκέλευε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς ἀγέλης ταῖς χερσὶ λαβόντα μέχρι πρὸς τὸν βωμὸν τοῦ Διός. ὁ δὲ Φύλιος ἀμηχανῶν, ὅτι χρήσεται πρὸς τὸ ἐπίταγμα, εὔξατο συλλαβέσθαι αὐτῷ τὸν Ἡρακλέα· καὶ πρὸς τὴν εὐχὴν ταύτην ἐφάνησαν δύο ταῦροι περὶ μίαν οἰστροῦντες βοῦν, καὶ τοῖς κέρασι τύπτοντες ἀλλήλους, κατέβαλον εἰς τὴν γῆν· ὁ δὲ Φύλιος ἐπειδὴ παρείθησαν τὸν ἕτερον ταῦρον ἀναψάμενος ἐκ τοῦ σκέλους, ἀπήγαγεν ἄχρι πρὸς τὸν βωμόν· βουλήσει δὲ τοῦ Ἡρακλέους ἀμελῆσαι τῶν ἐπιταγμάτων τοῦ παιδός· τῷ δὲ Κύκνῳ παρέστη δεινὸν ἀτιμωθέντι παρὰ τὴν δόξαν· ἀθυμήσας δὲ * κατέβαλεν ἑαυτὸν εἰς τὴν Κωνώπην λεγομένην λίμνην, καὶ ἠφανίσθη· πρὸς δὲ τὸν θάνατον αὐτοῦ, καὶ Θυρίη ἡ μήτηρ κατέβαλεν ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην· καὶ ἐγένοντο βουλῇ Ἀπόλλωνος ὄρνιθες ἀμφότεροι ἐν λίμνῃ· ἀφανισθέντων δὲ καὶ ἡ λίμνη μετωνομάσθη, καὶ ἐγένετο κυκνείη, καὶ πολλοὶ ἐν τῇ ὥρᾳ τοῦ ἀρότου ἐνταῦθα φαίνονται κύκνοι· πλησίον δὲ κεῖται καὶ τὸ τοῦ Φυλίου σῆμα.

Ἀσπαλίς. ιγ'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

Διὸς καὶ νύμφης Ὀθρηΐδος ἐγένετο παῖς Μελι-

τεύς

τοὺς· τοῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην κατὰ δέος Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη· ὁ δὲ παῖς Διὸς βουλῇ οὐκ ἠφανίσθη, ἀλλ' ηὔξετο τρεφόμενος ὑπὸ μελισσῶν· ἐνέτυχε δὲ αὐτῷ ποιμαίνων πρόβατα, Φάγρος ὁ Ἀπόλλωνος καὶ Ὀθρηΐδος νύμφης, ἥτις ἔτεκε Μελιτέα τὸν ἐν τῇ ὕλῃ παῖδα· θαυμάσας δὲ πρὸς τὸν ὄγκον τοῦ σώματος καὶ ἔτι πλέον πρὸς τὰς μελίσσας, ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὴν οἰκίαν, καὶ ἔτρεφεν ἐν πολλῇ σπουδῇ, θέμενος αὐτῷ Μελιτέα ὄνομα, διότι ὑπὸ μελισσῶν ἐτράφη· ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμός, ἐν ᾧ ποτε θεὸς εἶπε σώζειν ὁμόγνιον ὄντα τὸν ὑπὸ τῶν μελισσῶν τρεφόμενον. Ὁ δὲ παῖς ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος, καὶ πλείστων ἦρξε περιοίκων· καὶ πόλιν ἔκτισεν ἐν τῇ Φθίᾳ προσαγορεύσας Μελίτην· ἐν ταύτῃ τῇ Μελίτῃ τύραννος ἐγένετο βίαιος καὶ ὑβριστής· ὃν οἱ μὲν ἐπιχώριοι οὐδ' ὀνομάζουσι, ὑπὸ δὲ τῶν ξένων Τάρταρος ἐκαλεῖτο. οὗτος εἴ τις διαβοηθείη παρθένος ἐπὶ κάλλει τῶν ἐγχωρείων, ἀπῆγεν αὐτὴν καὶ ἐμίγνυτο πρὸ γάμου κατὰ βίαν. τότε δ' οὖν εἴρητο πρὸς τοὺς θεράποντας ἀπάγειν Ἀσπαλίδα τὴν θυγατέρα τοῦ Ἀργαίου τοῦ οὐκ ἀσήμου· ἡ δὲ παῖς ὡς ἔκπυστος ὁ λόγος ἐγένετο, πρὶν ἀφικέσθαι τοὺς ἀπάξοντας ἀνήρτησεν ἑαυτήν· τῆς δὲ πράξεως οὔπω διαβοηθείσης ἀδελφὸς ὁ τῆς Ἀσπαλίδος Ἀστυγίτης ὤμοσεν,

ὅτι πρότερον πίσεται τὸν τύραννον, ἢ τὸ σῶμα καθαιρήσει τὸ τῆς ἀδελφῆς· ἐνδὺς δὲ τάχιστα τὴν στολὴν τῆς Ἀσπαλίδος, καὶ κρύψας παρὰ τὴν εὐώνυμον πλευρὰν τὸ ξίφος, ἔλαθε πρὸς τὴν ὄψιν ἀντίπαις ὤν· παρελθὼν δὲ εἰς τὰ οἰκία, γυμνὸν ὄντα καὶ ἀφύλακτον τὸν τύραννον, κτείνει· οἱ δὲ μελιτεῖς τὸν μὲν Ἀστυγίτην ἐστεφάνουν, καὶ μετὰ παιάνων προέπεμπον· τὸ δὲ σῶμα τοῦ τυράννου κατεπόντωσαν, εἰς ποταμὸν ἐμβαλόντες, ὃν ἔτι νῦν ἐξ ἐκείνου τοῦ χρόνου τάρταρον καλοῦσι· τὸ δὲ σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξερευνῶντες πάντα τρόπον ὅπως κηδεύσωσιν ἐπισήμως, οὐκ ἠδυνήθησαν εὑρεῖν· ἀλλὰ τοῦτο μὲν ἠφανίσθη κατὰ θεόν· ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον παρὰ τὸ τῆς Ἀρτέμιδος ἑστηκός· ὀνομάζεται δὲ παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον ἀσπαλὶς ἀμειλήτη ἑκαέργη, ᾧ καθ' ἕκαστον ἔτος αἱ παρθένοι χίμαρον ἄθορον ἐκρήμνων, ὅτι καὶ ἡ Ἀσπαλὶς παρθένος οὖσα, ἑαυτὴν ἀπηγχόνισεν·

Μούνιχος. ιδ'. Μούνιχος ὁ Δρύαντος ἐβασίλευσε Μολοσσῶν, καὶ ἐγένετο μάντις ἀγαθὸς, καὶ ἀνὴρ δίκαιος· ἔσχεν δὲ παῖδας ἐκ Λιλαίτης· Ἄλκανδρον ἀμείνονα μάντιν ἑαυτοῦ καὶ Μεγαλύτορα, καὶ Φίλαιον· καὶ θυγατέρα Ὑπερίππην· τούτους γενομένους πάντας ἀγαθοὺς καὶ δικαίους ἐφίλησαν οἱ θεοί. Ἐπεὶ δὲ αὐτοὺς ἀπὸ τῶν ἀγρῶν νυκτὸς

ἐπελ-

ἐπελθόντες λῃσταὶ συνελάμβανον· οἱ δὲ ἐκ τῶν πύργων ἔβαλλον· οὐ γὰρ ἦσαν αὐτοῖς ἰσόμαχοι, πῦρ ἐνέβαλλον οἱ κλῶπες εἰς τὰ οἰκία. Ζεὺς δ' οὐ περιεῖδεν αὐτοὺς ὁσιότητος ἕνεκα, τελευτήσαντας οἰκτίστῳ θανάτῳ· μετέβαλε δὲ πάντας εἰς ὄρνιθας. καὶ Ὑπερίππη μὲν ἐπεὶ φυγοῦσα τὸ πῦρ εἰς ὕδωρ κατέδυ, γέγονεν αἴθυια, οἱ δὲ ἄλλοι ἐκ τοῦ πυρὸς ἀνέπτησαν· Μούνιχος μὲν τριόρχης γενόμενος· Ἄλκανδρος δὲ ὀρχίλος· Μεγαλήτωρ δὲ καὶ Φιλαῖος, ὅτι τὸ πῦρ φεύγοντες διὰ τοῦ τοίχου παρὰ τὴν γῆν ἔδυσαν, ἐγένοντο μικροὶ δύο ὄρνιθες. καί ἐστιν ὁ μὲν αὐτῶν ἰχνεύμων· Φιλαῖος δ' ὀνομάζεται, κύων· ἡ δὲ μήτηρ αὐτῶν ἐγένετο κνιπολόγος πιπώ· πρὸς ταύτην ἀετῷ πόλεμός ἐστι καὶ ἐρωδιῷ· κατάγνυσι γὰρ αὐτῶν τὰ ᾠά, κέπτουσα τὴν δρυῶ διὰ τοὺς κνίπας· καί εἰσιν αἱ μὲν ἄλλοι σύννομοι ἐν ὕλῃ καὶ περὶ κευθμῶνας· αἴθυια δὲ ἐγένετο πρὸς λίμνας τε καὶ θαλάσσῃ.

Εὐμήλου τοῦ Μέροπος ἐγένοντο παῖδες ὑπερύφανοι καὶ ὑβρισταί· Βύσσα καὶ Μόροπις καὶ Ἄγρων· καὶ ᾤκουν κατὰ τὴν Μοροπίδα νῆσον· ἡ δὲ γῆ πλεῖστον αὐτοῖς ἐξέφερε καρπόν, ὅτι μόνην θεῶν ἐτίμων, καὶ ἐπιμελῶς αὐτὴν ἠργάζοντο· οὐδὲ ἀνθρώπων οὐδενὶ συνήλθον, οὔτε εἰς ἄστυ κατιόντες, οὔτε πρὸς εἰλαπίνας καὶ θεῶν Μεροπίς. ιέ.

 ἑορτάς.

ἑορτάς. ἀλλ' εἰ μὲν Ἀθηνᾷ τις ἱερὰ ποιῶν ἐκάλεσεν τὰς κόρας· ἀπέλεγεν ὁ ἀδελφὸς τὴν κλῆσιν· οὐ γὰρ ἀγαπᾶν ἔφη γλαυκὴν θεόν, ὅτι ταῖς αὐταῖς χώραις κόραις ὀφθαλμὸς αὐτῶν μέλας· ἐχθαίρειν δὲ πάμπαν γλαῦκα τὴν ὄρνιν. εἰ δὲ καλοῖεν παρὰ τὴν Ἄρτεμιν νυκτίφοιτον ἔλεγε μισεῖν θεόν· εἰ δὲ πρὸς Ἑρμῆν σπονδάς, κλέπτην ἔλεγεν οὐ τιμᾶν θεόν· καὶ οἱ μὲν πολλάκις ἐκερτόμουν. Ἑρμῆς δὲ καὶ Ἀθηνᾶ καὶ Ἄρτεμις χολούμενοι νυκτὸς ἐπέστησαν αὐτῶν τοῖς οἴκοις· Ἀθηνᾶ μὲν καὶ Ἄρτεμις ἐοικυῖαι κόραις· Ἑρμῆς δὲ ποιμένος ἔχων στολήν. καὶ τὸν Εὔμηλον καὶ τὸν Ἄγρωνα προσαγορεύσας παρεκάλει παρατυχεῖν εἰς δαῖτα· διδόναι γὰρ ἱερὰ μετὰ τῶν ἄλλων ποιμένων Ἑρμῇ. Βύσσαν δὲ καὶ Μεροπίδα πρὸς τὰς ὁμήλικας ἐπεῖθεν ἐκπέμπειν εἰς τὸ τῆς Ἀθηνᾶς καὶ Ἀρτέμιδος ἄλσος, καὶ ταῦτα μὲν εἶπεν Ἑρμῆς. Μεροπὶς δ' ὡς ἤκουσεν ἐξύβρισε πρὸς τὸ ὄνομα τῆς Ἀθηνᾶς· ἡ δὲ αὐτὴν ἐποίησεν ὀρνίθιον γλαῦκα· Βύσσα δὲ τῷ αὐτῷ ὀνόματι λέγεται, καί ἐστι Λευκοθέας ὄρνις. Ἄγρων δ' ὡς ἐπύθετο ἁρπάσας ὀβελὸν ἐξέδραμεν· Ἑρμῆς δ' αὐτὸν ἐποίησε χαραδριόν· Εὔμηλος δὲ τὸν Ἑρμῆν ἐνείκεσεν, ὅτι μετεμόρφωσεν αὐτοῦ τὸν υἱόν· ὁ δὲ κἀκεῖνον ἐποίησε νυκτικόρακα κακάγγελον.

Οἰνόη. ιϛ'.

Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.

Παρὰ τοῖς λεγομένοις ἀνδράσι πυγμαίοις

ἐγένετο

ἐγένετο παῖς ὄνομα Οἰνόη, τὸ μὲν εἶδος οὐ μεμπτὴ, ἄχαρις δὲ τὸ ἦθος καὶ ὑπερήφανος· ταύτῃ φροντὶς οὐδεμία ἐγίνετο τῆς Ἀρτέμιδος οὐδὲ Ἥρας· γαμηθεῖσα δὲ Νικοδάμαντι τῶν πολιτῶν ἑνὶ μετρίῳ ἐπιεικεῖ ἔτεκε παῖδα Μόψον· καὶ αὐτῇ πυγμαῖοι πάντες κατὰ φιλοφροσύνην πλεῖστα δῶρα πρὸς τὴν γένεσιν τοῦ παιδὸς ἀπήνεγκαν· Ἥρα δὲ μεμφθεῖσα τὴν Οἰνόην, ὅτι αὐτὴν οὐκ ἐτίμα, γέρανον αὐτὴν ἐποίησεν, καὶ τὸν αὐχένα μακρὸν ἕλκυσε· καὶ ἀπέδειξεν ὑψιπετῆ ὄρνιθα· καὶ πόλεμον ἐνέβαλεν αὐτῇ τε καὶ τοῖς πυγμαίοις· Οἰνόη δὲ διὰ τὸν πόθον τοῦ παιδὸς Μόψου, περιεπέτετο τὰ οἰκία, καὶ οὐκ ἐξελίμπανε· Πυγμαῖοι δὲ καθοπλισάμενοι πάντες, ἐδίωκον αὐτήν· καὶ ἐκ τούτου ἔτι καὶ νῦν πυγμαίοις καὶ γεράνοις πόλεμος ἐνέστηκε.

Γαλάτεια ἡ Εὐρυτίου τοῦ Σπάρτωνος ἐγήματο ἐν Φαιστῷ τῆς Κρήτης Λάμπρῳ τῷ Πανδίονος· ἀνδρὶ τὰ μὲν εἰς γένος εὖ ἔχοντι, βίου δὲ ἐνδεεῖ· οὗτος ἐπειδὴ ἐγκύμων ἦν ἡ Γαλάτεια, ηὔξατο μὲν ἄῤῥενα γενέσθαι αὐτῷ παῖδα· προηγόρευε δὲ τῇ γυναικὶ, ἐὰν γεννήσῃ κόρην ἀφανίσαι· καὶ οὗτος μὲν ἀπιὼν ἐποίμαινεν τὰ πρόβατα, τῇ δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο, καὶ κατοικτείρασα τὸ βρέφος, καὶ τὴν ἐρημίαν τοῦ οἴκου λογισαμένη, συλ- Λευκιππος. ιζ'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β.

λαμβανόντων δ' ἔτι καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἳ παρηγόρευον τὴν κόρην ὡς κόρον ἐντρέφειν, ἐψεύσατο τὸν Λάμπρον ἄρρεν λέγουσα τεκεῖν, καὶ ἐξέτρεφον ὡς παῖδα κοῦρον ὀνομάσασαι Λεύκιππον· ἐπεὶ δὲ ηὔξετο ἡ κόρη, καὶ ἐγένετο ἄφατόν τι κάλλος, δείσασα τὸν Λάμπρον ἡ Γαλάτεια, ὡς οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν εἰς τὸ τῆς Λητοῦς ἱερὸν, καὶ πολλὰ τὴν θεὸν ἱκέτευσεν, εἴπως αὐτῇ κόρος ἡ παῖς ἀντὶ τῆς θυγατρὸς δύναιτο γενέσθαι, καθάπερ ὅτε Καινὶς μὲν Ἄτρακος οὖσα θυγάτηρ, βουλῇ Ποσειδῶνος ἐγένετο Καινεὺς ὁ Λαπίθης. Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρὸς, ὅτι τοὺς ἐν τῇ τριόδῳ μιγνυμένους ὄφεις ἐντυχὼν, ἀπέκτεινεν, ἐκ δὲ γυναικὸς αὖτις ἀνὴρ ἐγένετο διὰ τὸ δράκοντα πολλάκις· πάναντα δὲ καὶ Ὑπερμήστραν πιπρασκομένην ἰδεῖ γυναικὶ μὲν αἴρεσθαι τιμὸν· ἄνδρα δὲ γενομένην αἴθωνι τροφὴν ἀποφέρειν τῷ πατρί· μεταβαλεῖν δὲ καὶ τὸν Κρῆτα Σιπροίτην, ὅτι κυνηγετῶν λουομένην ἴδεν τὴν Ἄρτεμιν· ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην καὶ ἱκετεύουσαν ᾤκτειρε τὴν Γαλάτειαν, καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς εἰς κόρον· ταύτης ἔτι μέμνηνται τῆς μεταβολῆς Φαίστιοι· καὶ θύουσι Φυτίῃ Λητοῖ, ἥτις ἔφυσε μήδεα τῇ κόρῃ, καὶ τὴν ἑορτὴν Ἐκδύσια καλοῦσιν· ἐπεὶ τὸν πέπλον ἡ

παῖς

παῖς ἐξέδυ· νόμιμον δ' ἐστὶν ἐν τοῖς γάμοις πρότερον προκλίνασθαι πρὸ τὸ ἄγαλμα τοῦ Λευκίππου.

Ἡέροπος. ιη. Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β.

Εὔμηλος ὁ παῖς ὁ Εὐγνώτου κατῴκησεν ἐν Θήβαις ταῖς Βοιωτίαις, καὶ αὐτῷ παῖς ἐγένετο Βότρης ὄνομα· οὗτος ὁ Εὔμηλος ἐτίμα μεγαλομερῶς τὸν Ἀπόλλωνα· καί ποτε θύοντος αὐτοῦ παρὼν ὁ παῖς Βότρης ἐδαίσατο τὸν ἐγκέφαλον τοῦ ἀρνὸς πρὶν ἐπὶ τὸν βωμὸν καταθῦσαι· μαθὼν δὲ τὸ γεγονὸς Εὔμηλος προσέκρουσε κατ' ὀργὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ τὸν δαλὸν ἀφελκὼν ἐκ τοῦ βωμοῦ. καὶ ὁ παῖς καταρυέντος τοῦ αἵματος, καταπεσὼν ἤσπαιρεν· ἡ δὲ μήτηρ ὡς ἴδεν καὶ ὁ πατὴρ καὶ οἱ θέραπες, μέγιστον ἐποιήσαντο πένθος· Ἀπόλλων δὲ οἰκτείρας ἐπεὶ αὐτὸν Εὔμηλος ἐτίμα, ὄρνιθα ἐποίησε τὸν παῖδα ἠέροπον, ὃς ἔτι νῦν τίκτει μὲν ὑπὸ γῆς, αἰεὶ δὲ μελετᾷ πέτεσθαι.

Φῶρες. ιθ. Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β.

Ἐν Κρήτῃ λέγεται εἶναι ἱερὸν ἄντρον μελισσῶν, ἐν ᾧ μυθολογοῦσι τεκεῖν Ῥέαν τὸν Δία, καὶ ἐστὶν ὅσιον οὐδένα προσελθεῖν οὔτε θεὸν, οὔτε θνητόν· ἐν δὲ χρόνῳ ἀφωρισμένῳ ὁρᾶται καθ' ἕκαστον ἔτος, πλεῖστον ἐκλάμπον ἐκ τοῦ σπηλαίου πῦρ. τοῦτο δὲ γίνεσθαι μυθολογοῦσιν, ὅτ' ἂν ἐκζέῃ τὸ τοῦ Διὸς ἐκ τῆς γενέσεως αἷμα· κατέχουσι δὲ τὸ ἄντρον ἱεραὶ μέλιτται τροφοὶ τοῦ Διός.

εἰς τὸ παρελθεῖν ἐθάῤῥησαν Λαῖος, καὶ Κελεὸς, καὶ Κέρβερος, καὶ Αἰγωλιὸς, ὅπως πλεῖστον ἀρύσωνται μέλι· καὶ περιθέμενοι περὶ τὸ σῶμα πάντη χαλκὸν, ἀρύσαντο τοῦ μέλιτος τῶν μελισσῶν· καὶ τὰ τοῦ Διὸς ἴδον σπάργανα, καὶ αὐτῶν ὁ χαλκὸς ἐῤῥάγη περὶ τὸ σῶμα· Ζεὺς δὲ βροντήσας ἀνέτεινε τὸν κεραυνόν· Μοῖραι δὲ καὶ Θέμις ἐκώλυσαν· οὐ γὰρ ἦν ὅσιον αὐτόθι θανεῖν οὐδένα· καὶ ὁ Ζεὺς πάντας αὐτοὺς ἐποίησαν ὄρνιθας· καὶ ἔστιν ἐξ αὐτῶν τὸ γένος τῶν οἰωνῶν λαῖοι καὶ κολοιοὶ καὶ κέρβροι, καὶ αἰγωλιοί· καὶ εἰσιν ἀγαθοὶ φανέντες, καὶ ἐπιτελεῖς παρὰ τοὺς ἄλλους ὄρνιθας, ὅτι τοῦ Διὸς ἴδον τὸ αἷμα.

Κλεῖνις. κ'. Ἱστορεῖ Βοῖος β', καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλων.

Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν, ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ πλούσιος ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους, καὶ πρόβατα, τοῦτον ἐκτόπως ἐφίλησεν Ἀπόλλων καὶ Ἄρτεμις, καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος τὸν ἐν ὑπερβορέοις, καὶ ἴδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων· παραγενόμενος δὲ εἰς Βαβυλῶνα, καὶ αὐτὸς ἐβούλετο καθάπερ ἐν ὑπερβορέοις ἱερεύειν τῷ θεῷ, καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησεν παρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο τῆς θυσίας ταύτης· καὶ κατὰ τὸ σύνηθες αἶγας αὐτῷ καὶ πρόβα-

πρόβατα καὶ βοῦς ἱερεύσει· τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν ὑπερβορέοις ἀγομένην αὐτῷ καθ᾽ ἡδονὴν εἶναι· καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν, ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους· καὶ τὸν λόγον ὃν ἤκουσεν ἐξεφόρει πρὸς τοὺς παῖδας· Ἦσαν δὲ αὐτῷ παῖδες Λύκιος καὶ Ὀρτύγιος, καὶ Ἅρπασος, καὶ θυγάτηρ Ἀρτεμίχη, παῖδες ἐκ μητρὸς Ἅρπης· Λύκιος μὲν οὖν καὶ Ἅρπασος ἀκούσαντες, ἐκέλευον ἱερεύειν τοὺς ὄνους, καὶ τέρπεσθαι τῇ ἑορτῇ· Ὀρτύγιος δὲ καὶ Ἀρτεμίχη πείθεσθαι τῷ Ἀπόλλωνι προσέτασσον· καὶ ἐπὶ τούτοις ὁ Κλεῖνις ἐπείθετο μᾶλλον. Ἅρπασος δὲ καὶ Λύκιος κατὰ βίαν ἐκλύσαντες τῶν δεσμῶν τοὺς ὄνους ἀπήλαυνον παρὰ τὸν βωμὸν, καὶ ὁ θεὸς ἐνέβαλεν τοῖς ὄνοις λύσσαν· οἱ δὲ τούς τε παῖδας καὶ τοὺς θεράποντας αὐτῶν καὶ τὸν Κλεῖνιν κατήσθιον· οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεβοῶντο· καὶ Ἅρπην μὲν καὶ Ἅρπασον ᾤκτειρε Ποσειδῶν, καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας, τῷ αὐτῷ λεγομένους ὀνόματι· Λητὼ δὲ καὶ Ἄρτεμις ἔγνωσαν ἀνασῶσαι τὸν Κλεῖνιν, καὶ τὴν Ἀρτεμίχην, καὶ τὸν Ὀρτύγιον, ὅτι οὐκ αἴτιοι τῶν ἀσεβημάτων ἦσαν· Ἀπόλλων δὲ Λητοῖ καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν· καὶ πρόσθεν ἢ ἀποθανεῖν μεταβαλὼν ἐποίησεν πάντας ὄρνιθας· καὶ ἐγένετο Κλεῖνις μὲν ὑπαίετος· οὗτός ἐστι δεύτερος ὀρνίθων μετὰ τὸν αἰετὸν,

διαγνῶναι

διαγνῶναι δ' οὐ χαλεπός· ὁ μὲν γὰρ ἐστι νεβροφόνος ἐρημνός, μέγας τε καὶ ἄλκιμος· ὁ δ' αἰετὸς μελάντερος, καὶ ἐλάσσων ἐκείνου. Λύκιος δὲ μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκός· αὖτις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος, ὅτι πρῶτος ἤγγειλε Κορωνίδα τὴν Φλεγύου θυγατέρα γαμηθεῖσαν Ἀλκυονεῖ· Ἀρτεμίχη δ' ἐγένετο πίφιγξ, θεοῖς τε καὶ ἀνθρώποις προσφιλὴς ὄρνις· Ὀρτύγιος δὲ αἰγίθαλλος, ὅτι τὸν πατέρα Κλεῖνιν ἀνέπειθεν αἶγας ἀντὶ τῶν ὄνων ἱερεύειν Ἀπόλλωνι.

Πολυφόντη. κά. Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.

Τερείνης τῆς Στρυμόνος καὶ Ἄρεως ἐγένετο θυγάτηρ Θρᾷσσα· ταύτην δ' ἔγημεν Ἱππόνους ὁ Τριβαλλοῦ παῖς, καὶ αὐτοῖς ἐγένετο θυγάτηρ ὄνομα Πολυφόντη· αὕτη τὰ μὲν ἔργα τῆς Ἀφροδίτης ἐξύβρισεν. ἐλθοῦσα δ' εἰς τὸ ὄρος Ἀρτέμιδος ἐγένετο συμπαίκτειρα καὶ συνήθης. Ἀφροδίτη δὲ ὅτι αὐτῆς ἠτίμασε τὰ ἔργα, ἔρωτα ἐνέβαλεν ἄρκτου, καὶ ἐξέμηνεν αὐτήν· ἡ δὲ κατὰ δαίμονα οἰστρήσασα, ἐμίγνυτο τῇ ἄρκτῳ, καὶ αὐτὴν ἡ Ἄρτεμις ἰδοῦσα, ἐκτόπως ἐμίσησεν, καὶ πάντα εἰς αὐτὴν ἔτρεψε τὰ θηρία· Πολυφόντη δὲ δείσασα μὴ θῆρες αὐτὴν διεργάσωνται. φυγοῦσα ἐξίκετο εἰς τὰ οἰκία τοῦ πατρός, καὶ ἔτεκε δύο παῖδας Ἄγριον καὶ Ὄρειον, μεγίστους καὶ δύναμιν ἔχοντας ἄπλετον. Οὗτοι ἐτίμων

οὔτε

οὔτε θεὸν, οὔτε ἄνθρωπον, ἀλλ' ἐξύβριζον εἰς πάντας· καὶ εἴ τῳ ξένων ἐντύχοιεν, ἀπάγοντες εἰς τὴν οἰκίαν κατήσθιον. Ζεὺς δὲ μισήσας αὐτοὺς, ἀπέστειλεν Ἑρμῆν, ὅπως ἣν ἐθέλῃ δίκην αὐτοῖς ἐπιβάλῃ· καὶ ὁ μὲν Ἑρμῆς ἐβούλευσεν ἀποκόψαι τοὺς πόδας αὐτῶν καὶ τὰς χεῖρας· Ἄρης δὲ ἐπεὶ τὸ γένος εἰς αὐτὸν ἀνέφερε Πολυφόντη, τούτους μὲν ἐξείλετο τῆς μοίρας τοὺς παῖδας· ἤλλαξε δὲ μετὰ Ἑρμοῦ τὴν φύσιν αὐτῶν εἰς ὄρνιθας· καὶ ἐγένετο Πολυφόντη μὲν στὺξ φθεγγομένη νυκτὸς, ἄτερ σίτου καὶ ποτοῦ, τὴν κεφαλὴν ἴσχουσα κάτω, τοὺς δὲ πόδας ἄκρους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώποις ἄγγελος. Ὄρειος δ' ἐγένετο λαγῶς, ὄρνις ἐπ' οὐδενὶ φαινόμενος ἀγαθῷ· Ἄγριος δὲ μετέβαλεν εἰς γῦπα, πάντων ὀρνίθων ἔχθιστον θεοῖς τε καὶ ἀνθρώποις· καὶ διὰ παντὸς ἵμερον αὐτῷ κρέως καὶ αἵματος ἐνέβαλον ἀνθρωπείου· τὴν δὲ θεράπαιναν αὐτῶν ἐποίησαν ἴπνην· ἡ δὲ μεταβάλλουσα τὴν φύσιν, ηὔξατο θεοῖς, μὴ κακὸς ὄρνις ἀνθρώποις γενέσθαι. καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ' ἀνάγκας ἔδρασεν, ἃ προσέταξαν οἱ δεσπόται, καὶ ἔστιν ἀγαθὸς οὗτος ὁ ὄρνις ἐπὶ θήραν ἰόντι καὶ δαῖτα.

Τέραμβος. κβʹ.

Ἱστορεῖ Νίκανδρος ἐν α. ἑτεροιουμένων.

Τέραμβος Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης Ὀθρηίδος, ᾤκει ἐν τῇ γῇ τῇ Μηλιέων

πρὰ

παρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος· ἐγένετο δὲ αὐτῷ θρέμματα πλεῖστα, καὶ αὐτὰ ἐποίμαινεν αὐτός· νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς ἐν τοῖς ὄρεσιν ᾄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι, καὶ ᾠδῇ βουκολικοῖς ᾄσμασι διαβοηθῆναι, καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι συνθεῖναι· καὶ λύρᾳ πρῶτος ἀνθρώπων κεχρῆσθαι, πλεῖστά τε καὶ κάλλιστα μέλη ποιῆσαι· τούτων οὖν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας, καὶ χορεῦσαι πρὸς τὰ κρούματα τοῦ Τοράμβου· Πᾶνα δὲ τούτῳ κατ' εὐμένειαν αὐτῷ προαγγεῖλαι, καταλιπόντα τὴν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν· ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐπιέναι μέλλειν· ὁ δὲ Τόραμβος ὑπὸ μεγαλαυχίας ἐκ νεότητος οἷα θεοβλαβής, ἀπελαύνειν μὲν ἐκ τῆς Ὄθρυος εἰς τὸ πεδίον οὐκ ἐγίγνωσκεν· ἀπέρριψεν δὲ λόγον ἄχαρίν τε καὶ ἀνόητον εἰς τὰς νύμφας, ὅτι γένος μὲν εἰσὶν οὐκ ἀπὸ Διός, ἀλλ' ἔτεκεν αὐτὰς ἡ Δεῖνα τοῦ Σπερχειοῦ. Ποσειδῶν δὲ πόθῳ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐρρίζωσε, καὶ ἐποίησεν αἰγείρους, ἄχρι αὐτὸς κορεσθεὶς τῆς εὐνῆς ἀνέλυσε, καὶ πάλιν αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν· τοιαῦτα μὲν ὁ Τόραμβος ἐκερτόμησεν εἰς τὰς νύμφας. Μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυ-

μὸς

μὸς, καὶ ἐπάγησαν αἱ χαράδραι, καὶ πολλὰ κατέπεσε χιών, καὶ τὰ ποίμνια τοῦ Τεράμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσιν ἠφανίσθη· νύμφαι δὲ μετέβαλον κατ' ὀργὴν τὸν Τέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο † ὑλοφάγος κεράμβυξ. φαίνεται δ' ἐπὶ τῶν ξύλων, καί ἐστιν ἀγκύλος ἐκ τῶν ὀδόντων, καὶ συνεχῶς τὰ γένεια κινεῖν, μέλας, παραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὼς τοῖς μεγάλοις κανθάροις· οὗτος ξυλοφάγος βοῦς καλεῖται· παρὰ δὲ Θετταλοῖς κεράμβυξ· τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι, καὶ τὴν κεφαλὴν ἀποτέμνοντες, φέρουσιν· ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης.

forte, ξυλοφάγος.

Βάττος. κγ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α', καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, καὶ Διδύμαρχος μεταμορφώσεων γ', καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι, καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α'.

Ἄργου τοῦ Φρίξου, καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης· οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας, καὶ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι· ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν, Ὑμέναιος· ἐπεὶ δ' Ἀπόλλων ἀϊδόντα ἔρως ἔλαβε τοῦ παιδός, καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο ἵνα περ ἦσαν αἱ Ἀδμήτου βόες· καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσίν, αἳ ἐφύλαττον αὐτάς, λήθαργον καὶ κυνάγχην, αἱ δ' ἐξελάθοντο τῶν βοῶν καὶ τῆς φυλακῆς·

ἀπω-

ἀπώλεσαν· εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα· καὶ ἑκατὸν βοῦς ἄζυγας, καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν· ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ· καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε πελάσγων, καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος, καὶ διὰ Λοκρίδος, καὶ Βοιωτίας, καὶ Μεγαρίδος· καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας, καὶ ἐντεῦθεν παρὰ τὸ λύκαιον ὄρος ἐπορεύετο, καὶ παρὰ τὸ Μαινάλιον, καὶ τὰς λεγομένας Βάττου σκοπιάς· ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῷ σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκίων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει, καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν· Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο· καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατειπεῖν. Ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πριῶνι παρὰ τὸ Κορυφάσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτόν· καὶ πειρώμενος εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει· διδοὺς δὲ μισθὸν χλαῖναν, ἐπυνθάνετο παρ' αὐτοῦ μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα, καὶ ἐμήνυσε περὶ τῶν βοῶν.

Ἑρμῆς

Ἑρμῆς δὲ χαλεπήνας ὅτι διχόμυθος ἦν, ἐράπισεν αὐτὸν τῇ ῥάβδῳ, καὶ μετέβαλεν εἰς πέτρον. τῷ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος προσδυόντων ἄχρι νῦν σκοπιαὶ Βάττου.

Ἀσκάλαβος. κδ'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Δημήτηρ ὅτε πλανῆτις ἐπῄει γῆν ἅπασαν κατὰ ζήτησιν τῆς θυγατρός, ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ· καὶ αὐτὴν ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μίσμη, καὶ δίδωσι ποτὸν ὕδωρ ἐμβαλοῦσα γλήχωνα καὶ ἄλφιτον εἰς αὐτό· καὶ ἡ Δημήτηρ ἐξέπιε κατὰ τὸ δίψος, τὸ ποτὸν ἀθρόως· ὁ δὲ παῖς ὁ τῆς Μίσμης Ἀσκάλαβος ἰδὼν, ἐποίησε γέλωτα· καὶ αὖτις ἐκέλευσεν ὀρέγειν αὐτῇ λέβητα βαθὺν, ἢ πιθάκνην· Δημήτηρ δὲ κατ' ὀργὴν ὡς εἶχε τὸ ποτὸν αὐτῷ τὸ καταλειπόμενον προσέχεεν· ὁ δὲ μεταλαβὼν, ἐγένετο ποικίλος ἐκ τοῦ σώματος Ἀσκάλαβος, καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων μεμίσηται· καὶ ἔστιν αὐτῷ δίαιτα παρ' ὀχετόν· ὁ δ' ἀποκτείνας κεχαρισμένος γίνεται Δημήτρι.

Μητιόχη καὶ Μενίππη. κε'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ', καὶ Κόριννα ἑτεροίων ά.

Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες ἐγένοντο Μητιόχη καὶ Μενίππη· αὗται ὅτε Ὠρίωνα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο παρὰ τῇ μητρί· καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐταὶς ἱστοὺς ἐξυφαίνειν· Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος· ἐπεὶ δὲ Ἀονίαν ὅλην

ἔλαβε λοιμός, καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς ἀπέστειλαν παρὰ τὸν Ἀπόλλωνα τὸν Γορτύνιον· καὶ αὐτοῖς εἶπεν ὁ θεὸς, ἱλάσασθαι δύο τοὺς Ἐριουνίους· ἔφη δὲ καταπαύσειν αὐτοὺς τὴν μῆνιν, εἰ δύο δυσὶν ἑκοῦσαι παρθένοι θύματα γένοιντο· πρὸς δὲ δὴ τὸ μαντεῖον, οὐδεμία τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν, ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγατέρας τοῦ Ὠρίωνος· αἱ δ' ὡς ἐπύθοντο παρὰ τὸν ἱστὸν ἔχουσαι, τὸν ὑπὲρ αὐτῶν θάνατον ἐδέξαντο, πρὶν ἢ τὴν ἐπιδήμιον ἐπιπεσοῦσαν αὐτὰς ἀφανίσαι νόσον. τρὶς δὲ βοησάμεναι χθονίους δαίμονας, ὅτι αὐτοῖς ἑκοῦσαι θύματα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα, καὶ ἀνέρρηξαν τὴν σφαγήν· καὶ αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν· Φερσεφόνη δὲ καὶ ᾅδης οἰκτείραντες τὰ μὲν σώματα τῶν παρθένων ἠφάνισαν· ἀντὶ δ' ἐκείνων ἀστέρας ἀνήνεγκαν ἐκ τῆς γῆς· οἱ δὲ φανέντες, ἀνηνέχθησαν εἰς οὐρανόν, καὶ αὐτοὺς ὠνόμασαν ἄνθρωποι κομήτας· ἱδρύσαντο δὲ πάντες Ἄονες ἐν Ὀρχομενῷ τῆς Βοιωτίας, ἱερὸν ἐπίσημον τῶν παρθένων τούτων. καὶ αὐταῖς καθ' ἕκαστον ἔτος κόροι τε καὶ κόραι μειλίγματα φέρουσι· προσαγορεύουσι δ' αὐτὰς ἄχρι νῦν Αἰολεῖς, Κορωνίδας παρθένους.

Ὕλας. κϛ´.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ.

Ἡρακλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, στρατηγὸς ὑπ' αὐτῶν ἀποδειχθεὶς, συνεπήγετο μεθ' αὑτοῦ καὶ Ὕλαν, παῖδα τοῦ Κήυκος. * ἴτυπος νέον δὲ καὶ καλόν· ἐπεὶ δὲ πρὸς τὸ στενὸν ἐξίκοντο τοῦ πόντου, καὶ τὰ σφυρὰ παρέπλευσαν τῆς Ἀργανθώνης, καὶ ἐγένετο χειμὼν καὶ σάλος, ἐνταῦθα καταβαλόντες ἀγκύρας, ἀνέπαυσαν τὴν ναῦν· καὶ Ἡρακλῆς παρεῖχε τοῖς ἥρωσι τὸ δεῖπνον· ὁ δὲ παῖς Ὕλας ἔχων χρωσσὸν, ἦλθε πρὸς τὸν Ἀσκάνιον ποταμὸν, ὕδωρ ἀρύσων τοῖς ἀριστεῦσι. καὶ αὐτὸν ἰδοῦσαι νύμφαι, τοῦ ποταμοῦ τούτου θυγατέρες, ἠράσθησαν· ἀρυόμενον δὲ καταβάλλουσιν εἰς τὴν κρήνην· καὶ ὁ μὲν Ὕλας ἀφανὴς ἐγένετο· Ἡρακλῆς δ' ἐπεὶ αὐτῷ οὐκ ἐνόστει, καταλιπὼν τοὺς ἥρωας, ἐξηρεύνα πανταχοῦ τὸν δρυμὸν, καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν· νύμφαι δὲ δείσασαι τὸν Ἡρακλέα μὴ αὐτὸν εὕροι κρυπτόμενον παρ' αὐταῖς, μετέβαλον τὸν Ὕλαν, καὶ ἐποίησαν ἠχώ, καὶ πρὸς τὴν βοὴν πολλάκις ἀντεφώνησεν Ἡρακλεῖ. καὶ ὁ μὲν ὡς οὐκ ἐδύνατο, πλεῖστα πειρασάμενος ἐξευρεῖν τὸν Ὕλαν, ἐπανεγένετο πρὸς τὴν ναῦν· καὶ αὐτὸς μὲν ἔπλει μετὰ τῶν ἀριστέων· Πολύφημον δὲ καταλείπει ἐν τῷ χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ τὸν Ὕλαν· καὶ ὁ μὲν Πολύφημος ἔφθη τελευτήσας· Ὕλᾳ δὲ θύουσι ἄχρι νῦν παρὰ τὴν κρήνην

* ἀτέωνε

οἱ ἐπιχώριοι, καὶ αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ, καὶ εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

Ἰφιγένεια. κζ'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Θησέως καὶ Ἑλένης τῆς Διὸς ἐγένετο θυγάτηρ Ἰφιγένεια, ταύτην ἐξέτρεφεν ἡ τῆς Ἑλένης ἀδελφὴ Κλυταιμνήστρα· πρὸς δὲ τὸν Ἀγαμέμνονα εἶπεν αὐτὴ τεκεῖν· Ἑλένη γάρ που θανομένη τῶν ἀδελφῶν, ἔφη κόρη παρὰ Θησέως ἀπελθεῖν· ἐπεὶ δὲ ἡ στρατεία ἡ τῶν Ἀχαιῶν ὑπὸ ἀπλοίας ἐν Αὐλίδι κατείχετο, προεσήμαινον οἱ μάντεις, ὅτι ἔσοιτο πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν. Ἀγαμέμνων δὲ δίδωσι σφάγιον αὐτὴν αἰτούντων τῶν Ἀχαιῶν· πρὸς δὲ τὸν βωμὸν ἀγομένην οἱ ἀριστεῖς, οὐ προσέβλεψαν, ἀλλὰ πάντες ἔτρεψαν ἄλλῃ τὰς ὄψεις· Ἄρτεμις δὲ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε μόσχον, αὐτὴν δὲ προσωτάτω τῆς Ἑλλάδος ἀπήνεγκεν εἰς τὸν Εὔξεινον λεγόμενον πόντον, παρὰ Θόαντα τὸν Βορυσθένους παῖδα· καὶ τὸ μὲν ἔθνος ἐκεῖνο τῶν νομάδων ἐκάλεσε Ταύρους, ἐπεὶ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε ταῦρον· αὐτὴν * δὲ ταυροπόλου· κατὰ δὲ χρόνον ἱκνούμενον, ἀπῴκισε τὴν Ἰφιγένειαν εἰς τὴν Λευκὴν λεγομένην παρὰ τὸν Ἀχιλλέα, καὶ ἀλλάξασα ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον δαίμονα· καὶ ὠνόμασεν ἀντὶ τῆς Ἰφιγενείας,

γενέσθαι, ὀφειλοχίαν ἐγένετο δὲ Ἀχιλλεῖ συνοικος.

Τυφῶν ἐγένετο γῆς υἱὸς ἐξαίσιος δαίμονος πρὸς ἰσχύν· κατὰ δὲ τὴν ὄψιν παρηλλαγμένος· ἐπεφύκεισαν γὰρ κεφαλαὶ πλεῖσται, καὶ χεῖρες, καὶ πτέρυγες· ἐκ δὲ τῶν μηρῶν μέγισται δρακόντων σπεῖραι· φωνὰς δὲ παντοίας ἠφίει, καὶ αὐτὸν οὐδὲν ὑπέμεινεν εἰς ἀλκήν· οὗτος ἐπεθύμησε τοῦ Διὸς ἔχειν τὴν ἀρχήν, καὶ αὐτὸν ἐπερχόμενον οὐδεὶς ὑπέμεινε τῶν θεῶν, ἀλλὰ δείσαντες ἔφυγον πάντες εἰς τὴν Αἴγυπτον. Ἀθηνᾶ δὲ καὶ Ζεὺς ὑπελείφθησαν μόνοι· Τυφὼν δ' ἐκ ποδὸς ἐδίωκεν· οἱ δὲ προμηθείᾳ διέφυγον, ἀλλάξαντες εἰς ζῶα τὰς ὄψεις. καὶ Ἀπόλλων μὲν ἐγένετο ἱέραξ· Ἑρμῆς δὲ ἶβις, Ἄρης δὲ λεπιδωτὸς ἰχθύς, Ἄρτεμις δὲ αἴλουρος· τράγῳ δὲ εἰκάζεται Διόνυσος, ἔλαφῳ δ' Ἡρακλῆς, βοῒ δ' Ἥφαιστος, μυγάλῃ δὲ Λητώ· καὶ ὡς ἕκαστος ἔτυχε τῶν ἄλλων θεῶν μετέβαλε τὴν ὄψιν· ἐπεὶ δὲ Τυφῶνα Ζεὺς βάλλει κεραυνῷ· καιόμενος δὲ ὁ Τυφὼν ἔκρυψεν ἑαυτόν, καὶ ἠφάνισεν τὴν φλόγα τῇ θαλάσσῃ. Ζεὺς δ' οὐκ ἀνῆκεν, ἀλλὰ μέγιστον ὄρος ἐπιβάλλει Τυφῶνι τὴν Αἴτνην. καὶ αὐτῷ φύλακα τὸν Ἥφαιστον ἐπὶ τῶν ἄκρων ἐφίστησιν. ὁ δ' ἐνερείσας τοὺς ἄκμονας αὐτοῦ τῷ τραχήλῳ διάπυρον ἐργάζεται μύδρον.

Τυφῶν. κή. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Γαλινθιάς, κθʹ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ.

Προίτου θυγάτηρ ἐν Θήβαις ἐγένετο Γαλινθιάς· αὕτη παρθένος ἦν συμπαίκτρια καὶ ἑταίρα Ἀλκμήνης τῆς Ἠλεκτρύωνος· ἐπεὶ δὲ Ἀλκμήνην ὁ τόκος ἤπειγεν τοῦ Ἡρακλέους μοῖραι καὶ εἰλείθυια πρὸς χάριν τῆς Ἥρας κατεῖχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλκμήνην. καὶ αὗται μὲν ἐκαθέζοντο κρατοῦσαι τὰς ἑαυτῶν χεῖρας. Γαλινθιὰς δὲ δείσασα μὴ Ἀλκμλώνην ἐκστήσωσι βαρυνομένην οἱ πόνοι, δραμοῦσα παρά τε τὰς μοίρας καὶ τὴν εἰλείθυιαν ἐξήγγειλεν, ὅτι Διὸς βουλῇ γέγονε τῇ Ἀλκμήνῃ παῖς κοῦρος· αἱ δὲ ἐκείνων τιμαὶ καταλέλυνται· πρὸς δὴ τοῦτο ἔκπληξις ἔλαβε τὰς μοίρας, καὶ ἀνῆκαν εὐθὺς τὰς χεῖρας· Ἀλκμήνην δὲ κατέλιπον εὐθὺς αἱ ὠδῖνες· καὶ ἐγένετο Ἡρακλῆς, αἱ δὲ μοῖραι πένθος ἐποιήσαντο· καὶ τῆς Γαλινθιάδος ἀφείλοντο τὴν κορείαν, ὅτι θνητὴ τοὺς θεοὺς ἐξηπάτησεν. καὶ αὐτὴν ἐποίησαν δολερὰν γαλῆν, καὶ δίαιταν ἔδωκαν ἐν τῷ μυχῷ, καὶ ἄμορφον ἀπέδειξαν τὴν εὐνήν· θορίσκεται μὲν γὰρ διὰ τῶν ὤτων· τίκτει δ' ἀναφέρουσα τὸ κυούμενον ἐκ τοῦ τραχήλου· ταύτην ἑκάτη πρὸς τὴν μεταβολὴν τῆς ὄψεως ᾤκτειρεν· καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς διάκονον· Ἡρακλῆς δ' ἐπεὶ ηὐξήθη τὴν χάριν ἐμνημόνευσε, καὶ αὐτῆς ἐποίησεν ἀφίδρυμα παρὰ τὸν οἶκον· καὶ ἱερὰ προσήνεγ-

κε·

κε· ταῦτα νῦν ἔτι τὰ ἱερὰ Θηβαῖοι φυλάττουσι, καὶ πρὸ Ἡρακλέους ἑορτῇ θύουσι Γαλινθιάδι πρώτῃ.

Ἀπόλλωνος καὶ ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς, ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος· τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλλεν εἰς τὴν ὕλην, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι, βουλῇ Ἀπόλλωνος, ἐφύλαττον, καὶ ὤρεγον παρὰ μέρος γάλα· ἔπειτα δὲ βουκόλοι περιτυχόντες, ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις· ἐπεὶ δὲ ὁ παῖς ηὔξετο, καὶ ἐγένετο καλὸς, καὶ δραστήριος, καὶ ὁ Μίνως κατὰ πόθον ἐνεχείρει βιάζεσθαι, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον, βουλῇ Σαρπηδόνος εἰς Καρίαν ἀπεδιδράσκει· καὶ πόλιν ἐνταυθοῖ κτίσας Μίλητον, ἔγημεν Εἰδοθέαν τὴν Εὐρύτου θυγατέρα τοῦ βασιλέως τῶν Καρῶν· καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ Καῦνος καὶ Βυβλὶς, ἀφ' οὗ πόλις ἐστὶν ἔτι νῦν ἐν Καρίᾳ, Καῦνος καὶ Βιβλίς· ταύτης ἐγένοντο πλεῖστοι μνηστῆρες ἐπιχώριοι, καὶ κατὰ κλέος ἐκ τῶν πέριξ πόλεων· ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο βραχὺν, αὐτὴν δὲ ἄφατος ἔρως ἐξέμηνε τοῦ Καύνου· καὶ τὸ πάθος ἄχρι μὲν ἐδύνατο κρύπτειν. ἐλελήθει τοὺς γονεῖς· ἐπεὶ δὲ καθ' ἡμέραν εἴχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαλεῖν

Βιβλίς. λ'. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

ἐκ τῆς πέτρας ἑαυτήν· καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος προελθοῦσα ῥίπτειν ἑαυτὴν ἐπεχείρησε. νύμφαι δὲ κατέσχον οἰκτείρασαι, καὶ πολὺν ὕπνον ἐνέβαλον, καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπου εἰς δαίμονα, καὶ ὠνόμασαν Ἁμαδρυάδα νύμφην Βιβλίδα, καὶ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα· καλεῖται δὲ καὶ τὸ ῥέον ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐπιχωρίοις, δάκρυον Βιβλίδος.

Μεσσάπιοι. λα'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος, καὶ Πευκέτιος· οὗτοι λαὸν ἀθροίσαντες, ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταῦθα οἰκοῦντας Αὔσονας, αὐτοὶ καθιδρύθησαν· ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, Ἰλλυριοί, Μεσσάπιοι· ἐπεὶ δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν ἐμέριζον τριχῆ, καὶ ὠνόμαζον ὡς ἑκάστοις ἡγεμόνος εἶχε, Δαυνίους καὶ Πευκετίους, καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Τάραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας, ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον. τὸ δὲ παρὰ τὴν ἐντὸς τοῦ Τάραντος, ἐγένετο Πευκετίων· ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπέπλεον, Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος ὠνόμαζον Ἰαπύγων· καὶ ἐγένετο ταῦτα, πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας· ἦν δὲ τοῖς τότε βίος ἀπὸ

θρεμμάτων

θρεμμάτων καὶ νομῆς· μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ παρὰ τὰς λεγομένας ἱερὰς πέτρας, φανῆναι νύμφας ἐπιμηλίδας χορευούσας· τοὺς δὲ παῖδας τῶν Μεσσαπίων, καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους, εἰπεῖν, ὅτι βέλτιον αὐτοὶ χορεύουσιν· οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας, καὶ τὸ νεῖκος ἐπὶ πλέον ἐγένετο περὶ τῆς χορείας· οἱ δὲ παῖδες ὅτι μὲν ἦν αὐτοῖς ἅμιλλα πρὸς δαίμονας, ἠγνόουν· ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητάς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων, ἄμουσος ἦν· ταῖς δὲ νύμφαις πᾶν ὅσον ἦ πλεῖστον ἐπέδωκεν εἰς κάλλος· καὶ ἐπεκράτησαν χορεύουσαι τῶν παίδων, καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· ὦ κοῦροι, τὸ νεῖκος ἤρασθε πρὸς ἐπιμηλίδας νύμφας, οὐκοῦν ὦ ἄφρονες νικώμενοι δώσετε δίκην· καὶ οἱ παῖδες ἵναπερ ἑστήκεισαν παρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο δένδρα· καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης οἷα θρηνούντων· ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.

Δρυόπη. λβ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α.

Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ, καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος ἐβασίλευσεν ἐν τῇ Οἴτῃ, καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη, καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός· ἐπεὶ δὲ

αὐτὴν ἠγάπησαν ὑπὸ φύσεως Ἁμαδρυάδες νύμ-
φαι, καὶ ἐποιήσαντο συμπαίκτειραν ἑαυτῶν,
ἐδίδαξαν ὑμνεῖν θεοὺς, καὶ χορεύειν· ταύτην
ἰδὼν Ἀπόλλων χορεύουσαν, ἐπεθύμησε μι-
χθῆναι. καὶ ἐγένετο πρῶτα μὲν κλεμμύς·
ἐπεὶ δ' ἡ Δρυόπη γέλωτα μετὰ τῶν νυμφῶν ὡς
παίγνιον ἐποιήσατο τὴν κλεμμύν, καὶ αὐτὴν ἐνέ-
θετο εἰς τοὺς κόλπους, μεταβαλὼν ἀντὶ τῆς
κλέμμυος, ἐγένετο δράκων, καὶ αὐτὴν κα-
τέλειπον αἱ νύμφαι πτοηθεῖσαι· Ἀπόλλων δὲ
Δρυόπῃ μίγνυται· ἡ δὲ ᾤχετο φεύγουσα πε-
ρίφοβος εἰς τὰ οἰκία τοῦ πατρὸς, καὶ οὐδὲν
ἔφασκε πρὸς τοὺς γονεῖς· ἐπεὶ δ' ἔγημεν αὐτὴν
ὕστερον Ἀνδραίμων ὁ Ὀξύλου, γεννᾷ παῖδα ἐξ
Ἀπόλλωνος Ἄμφισσον· οὗτος ἐπεὶ τάχιστα
ἠνδρώθη, ἀνὴρ ἐγένετο πάντων κρατῶν· καὶ
ἔκτισε παρὰ τὴν Οἴτην πόλιν ὁμώνυμον τῷ ὄρει,
καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευσεν· ἱδρύσατο δὲ
καὶ Ἀπόλλωνος ἱερὸν ἐν τῇ Δρυοπίδι, καὶ εἰς
τοῦτο προσιοῦσαν τὸ ἱερὸν Δρυόπην, ἥρπασαν Ἁ-
μαδρυάδες νύμφαι κατ' εὐμένειαν· καὶ αὐ-
τὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην· ἀντὶ δ'
ἐκείνης αἴγειρον ἀνέφηναν ἐκ τῆς γῆς, καὶ
παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέῤῥηξαν· Δρυό-
πη δὲ μετέβαλε, καὶ ἀντὶ θνητῆς ἐγένετο
νύμφη· Ἄμφισσος δὲ ἀντὶ τῆς πρὸς τὴν μη-

τόδρα χάριτος ἱερὸν ἱδρύσατο νυμφῶν, καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρόμου καὶ ἔτι νῦν οἱ ἐπιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον παρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν, δύο παρθένοι τοῖς ἐπιχωρίοις ἐδήλωσαν, πρὸς ἃς ἐχαλέπηναν αἱ νύμφαι, καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν.

Ἀλκμήνη. λγ'. Ἱστορεῖ Φερεκύδης.

Μετὰ δὲ τὸν Ἡρακλέους ἐξ ἀνθρώπων ἀφανισμὸν, Εὐρυσθεὺς ἐξελάσας αὐτοὺς τῆς πατρίδος, αὐτὸς ἐβασίλευεν· οἱ δὲ Ἡρακλεῖδαι καταφυγόντες πρὸς Δημοφῶντα τὸν Θησέως, ᾤκησαν τὴν Τετράπολιν τῆς Ἀττικῆς· Εὐρυσθεὺς δὲ πέμψας ἄγγελον εἰς Ἀθήνας, πόλεμον προέλεγε τοῖς Ἀθηναίοις, εἰ μὴ τοὺς Ἡρακλείδας ἐξελάσωσιν· οἱ μὲν οὖν Ἀθηναῖοι τὸν πόλεμον οὐκ ἀπολέγονται· Εὐρυσθεὺς δ' ἐνέβαλε εἰς τὴν Ἀττικὴν, καὶ παραταξάμενος, αὐτὸς μὲν ἀποθνήσκει μαχόμενος· ἡ δὲ πληθὺς ἐτράπη τῶν Ἀργείων· Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρακλεῖδαι καὶ σὺν αὐτοῖς ἀποθανόντος Εὐρυσθέως κατοικίζονται πόλιν ἐν Θήβαις· ἐν δὲ τούτῳ καὶ Ἀλκμήνη κατὰ γῆρας ἀποθνήσκει, καὶ αὐτὴν ἐξεκόμισαν Ἡρακλεῖδαι· ᾤκουν δὲ παρὰ τὰς Ἠλέκτρας πύλας, ὅθι περ καὶ Ἡρακλῆς ἐν τῇ ἀγορᾷ· Ζεὺς δὲ Ἑρμῆν πέμπει, κελεύων

Ἀλκμήνην ἐκκλέψαι, καὶ ἀπενεγκεῖν εἰς μακάρων νήσους, καὶ δοῦναι Ῥαδαμάνθυϊ γυναῖκα. Ἑρμῆς δὲ πεισθεὶς Ἀλκμήνην ἐκκλέπτει. λίθον δ' ἀντ' αὐτῆς ἐντίθησιν εἰς τὴν σορόν. οἱ δ' Ἡρακλεῖδαι ἐπεὶ τὴν λάρνακα φέροντες, ἐβαρύνοντο, κατατίθενται. καὶ ἀποκαλύψαντες εὗρον ἀντὶ τῆς Ἀλκμήνης λίθον, καὶ αὐτὸν ἐξελόντες, ἔστησαν ἐν τῷ ἄλσει, ὅθιπερ ἐστὶν τὸ ἡρῷον τὸ τῆς Ἀλκμήνης ἐν Θήβαις.

Σμύρνα. λδ'. Θείαντος τοῦ Βήλου καὶ Ὠρειθυίας μιᾶς τῶν νυμφῶν, ἐγένετο θυγάτηρ ἐν τῷ ὄρει τῷ Λιβάνῳ

ἀδίσπετος. Σμύρνα. ταύτην διὰ κάλλος πλεῖστοι καὶ ἐκ πόλεων πλείστων ἐμνήστευον. ἡ δὲ πολλὰ ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων, καὶ ἀνάθεσιν τοῦ χρόνου. δεινὸς γὰρ αὐτὴν ἔρως ἐξέμηνεν ἐπὶ τῷ πατρί. καὶ κατὰ μὲν ἀρχὰς δι' αἰδῶ κατέκρυπτε τὴν νόσον. ἐπεὶ δὲ τὸ πάθος αὐτὴν προσῆγεν, ἐξεῖπε τὸν λόγον πρὸς Ἱππολύτην τὴν τροφόν. ἡ δὲ παραδώσειν αὐτῇ ἄκος τοῦ παραλόγου πάθους ὑποσχομένη, λόγον πρὸς τὸν Θείαντα προσέφερεν, ὅτι αὐτῷ κόρη μακαρίων ἀνθρώπων χρῄζει παραγενέσθαι κρυφαῖος εἰς τὴν κοίτην. ὁ δὲ Θείας, οὐ γὰρ ἐγίνωσκεν οἷα ἐπ' αὐτῷ ἐμηχανᾶτο, κατῄνεσε τὸν λόγον. καὶ ὁ μὲν ἐν τῷ οἴκῳ σκοταῖος ἐπὶ τῆς στρωμνῆς ἐξεδέχετο τὴν κόρην. ἡ δὲ τροφὸς κατακρύψασα

ψασα τῇ ἐσθῆτι τὴν Σμύρναν παρήγαγεν, καὶ πλείονα χρόνον ἐλελήθει, πρασσόμενον ἄχαρι καὶ ἄθεσμον ἔργον, καὶ ὡς ἐκύησε μὲν ἡ Σμύρνα· Θείαντα δὲ πόθος ἔλαβεν ἐκμαθεῖν ἥτις ἦν ἡ κύουσα· καὶ ὁ μὲν κατέκρυψε πῦρ εἰς τὸν οἶκον· Σμύρνα δ' ὡς ἐξίκετο πρὸς αὐτὸν, ἐπαΐστος ἐγένετο, προσενεχθέντος ἐξαπίνης τοῦ πυρός· καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ τῆς γαστρός· αὐτὴ δ' ἀνασχοῦσα τὰς χεῖρας ηὔξατο μήτε παρὰ ζῶσι, μήτ' ἐν νεκροῖς φανῆναι· καὶ αὐτὴν ὁ Ζεὺς μεταβαλὼν ἐποίησε δένδρον, καὶ ἐκάλεν ὁμώνυμον αὐτῇ Σμύρναν· τοῦτο λέγεται κατ' ἔτος ἕκαστον δακρύειν τὸν ἀπὸ τοῦ ξύλου καρπόν· καὶ Θείας μὲν ὁ πατὴρ τῆς Σμύρνης διὰ τὸ ἔργον ἄθεμιστον ἑαυτὸν ἀνεῖλε· τὸ δὲ βρέφος Διὸς βουλῇ τρεφόμενον, ὠνόμασαν Ἄδωνιν, καὶ αὐτοῦ Ἀφροδίτη πλεῖστον ἠγάπησε διὰ τὸ κάλλος.

Βουκόλοι. λέ.

Λητὼ ἐπεὶ ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίᾳ τῇ νήσῳ ἀφίκετο εἰς Λυκίαν, ἐπιφερομένη τοὺς παῖδας ἐπὶ τὰ λουτρὰ τοῦ Ξάνθου· καὶ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύτῃ, ἐνέτυχε πρώτα μελίτῃ κρήνῃ. καὶ προεθυμεῖτο πρὶν ἐπὶ τὸν Ξάνθον ἐλθεῖν, ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι· ἐπεὶ δ' αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττεται καταλιποῦσα τὴν μελί-

Ἱστορεῖ Μενεκράτης Ξάνθιος Λυκιακοῖς· καὶ Νίκανδρος.

τὴν ἐ

τὴν ἡ Λητώ· λύκοι δὲ συναντόμενοι καὶ σήναντες, ὑφηγήσαντο τῆς ὁδοῦ, καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον. ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολούσασα τοὺς παῖδας, τὸν μὲν Ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τερμιλίδα λεγομένην, Λυκίαν μετωνόμασεν ἀπὸ τῶν καθηγησαμένων λύκων· αὖθις δὲ τὴν κρήνην αὐτῆς ἐξίκετο, δίκην ἐπιβαλοῦσα τοῖς ἀπελάσασιν αὐτὴν βουκόλοις· καὶ οἱ μὲν ἀπέλουον ἔτι παρὰ τὴν κρήνην τοὺς βοῦς· Λητὼ δὲ μεταβαλοῦσα πάντας, ἐποίησε βατράχους· καὶ λίθῳ τραχεῖ τύψασα τὰ νῶτα καὶ τοὺς ὤμους, κατέβαλε πάντας εἰς τὴν κρήνην· καὶ βίον ἔδωκεν αὐτοῖς καθ' ὕδατος· οἱ δ' ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.

Πανδάρεος. λϛ'.

Ἡνίκα Ῥέα φοβουμένη Κρόνον, κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν Δία, τότε αὐτὸν ἐξέθρεψεν αἲξ νύμφη μαζὸν ὀρέγουσα· τὴν αἶγα δὲ Ῥέας βουλῇ κύων χρύσεος ἐφύλαττεν· ἐπεὶ δὲ Ζεὺς τιτῆνας ἐξελάσας, τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν μὲν αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι νῦν εἴδωλόν ἐστι ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν Κρήτῃ· τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας, ᾤχετο φέρων εἰς Σίπυλον· καὶ αὐτὸν παρεδέξατο φυλάττειν

παρὰ

παρὰ τοῦ Πανδαρέου, Τάνταλος ὁ Διὸς καὶ Πλουτοῦς· ἐπεὶ δὲ μετὰ χρόνον Πανδάρεος ἐλθὼν εἰς Σίπυλον, ἀπῄτει τὴν κύνα, Τάνταλος ὤμοσε μὴ λαβεῖν. Ζεὺς δὲ Πανδάρεον μὲν ἀντὶ τῆς κλοπῆς ἐποίησεν ὅθιπερ εἱστήκει πέτρον. Τάνταλον δὲ ἐπεὶ τὸν ὅρκον ἐψεύσατο, κατέβαλε, καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὸν Σίπυλον.

Διομήδης μετὰ τὴν ἅλωσιν Ἰλίου παραγενόμενος εἰς Ἄργος· Αἰγιάλειαν μὲν ἐμέμψατο τὴν γυναῖκα τὴν ἑαυτοῦ χάριν ὀργῆς Ἀφροδίτης· αὐτὸς δ᾽ εἰς Καλυδῶνα τῆς Αἰτωλίας ἀφίκετο, καὶ ἀνελὼν Ἄγριον καὶ τοὺς παῖδας Οἰνεῖ τῷ προπάτορι τὴν βασιλείαν ἀποδίδωσιν· αὖθις δὲ πλέων εἰς Ἄργος ὑπὸ χειμῶνος εἰς τὸν Ἰόνιον ἐκφέρεται πόντον· ἐπεὶ δὲ παραγενόμενον αὐτὸν ἔγνω Δαύνιος ὁ βασιλεὺς τῶν Δαυνίων ἐδεήθη τὸν πόλεμον αὐτῷ συμπολεμῆσαι πρὸς Μεσσαπίους, ἐπὶ μοίρᾳ γῆς καὶ γάμῳ θυγατρὸς τῆς ἑαυτοῦ· καὶ Διομήδης ὑποδέχεται τὸν λόγον· ἐπεὶ δὲ παραταξάμενος ἐτρέψατο τοὺς Μεσσαπίους, καὶ ἔλαβε τὴν γῆν, ταύτην μὲν Δωριεῦσιν ἔνειμεν τοῖς σὺν αὐτῷ· δύο δὲ παῖδας ἐκ τῆς θυγατρὸς ἔσχε τῆς Δαυνίου Διομήδη καὶ Ἀμφίνομον· τελευτήσαντα δ᾽ αὐτὸν κατὰ γῆρας ἐν Δαυνίοις, ἐκτέρισαν Δωριεῖς. λζ΄.

οἱ Δω-

οἱ Δωριεῖς ἐν τῇ νήσῳ, καὶ ὠνόμασαν αὐτὴν Διομήδειαν· αὐτοὶ δ' ἐγεώργουν ἣν ἐδάσαντο παρὰ τοῦ βασιλέως γῆν, καὶ αὐτοῖς ἐξέφερε πλεῖστον καρπὸν, κατ' ἐμπειρίαν γεωργικῶν ἔργων· Δαυνίου δ' ἀποθανόντος ἐπεβούλευσαν Ἰλλυριοὶ βάρβαροι κατὰ φθόνον αὐτῶν τῆς γῆς· καὶ ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἔντομα θύοντας, ἐπιφανέντες ὅτι Ἰλλυριοὶ τοὺς Δωριεῖς· Διὸς δὲ βουλῇ τὰ σώματα μὲν ἠφανίσθη τῶν Ἑλλήνων· αἱ ψυχαὶ δὲ μετέβαλον εἰς ὄρνιθας· καὶ ἔτι νῦν ἑλληνικὴ μὲν ἐπὰν καθορμίσηται ναῦς, φοιτῶσι πρὸς αὐτοὺς οἱ ὄρνιθες· Ἰλλυρικὴν δὲ φεύγουσι ναῦν, καὶ ἀφανίζονται πάντες ἐκ τῆς νήσου.

Λύκος. λή. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α΄.

Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ, παῖδες ἐγένοντο Τελαμὼν καὶ Πηλεὺς καὶ τρίτος Φῶκος ἐκ Ψαμάθης τῆς Νηρέως· τοῦτον ἐφίλησε περισσῶς Αἰακὸς, ὅτι καλὸς κἀγαθὸς ἦν ἀνήρ· Πηλεὺς δὲ καὶ Τελαμὼν φθονήσαντες αὐτῷ, κτείνουσι θανάτῳ κρυφαίῳ, καὶ διὰ τοῦτ' ἐξελαθέντες ὑπ' Αἰακοῦ τὴν Αἴγιναν ἐξέλιπον· ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον· Πηλεὺς δ' ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἴρου· καὶ ἱκετεύσας καθαίρεται παρ' αὐτῷ τὸν φόνον· καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ἐπὶ συὸς βολῇ κτείνει· καὶ φυγὼν ἔρχεται παρὰ Ἄκαστον,

τὸν ἀπὸ

ὑπὸ τῆς γυναικὸς πρὸς ἀφροδίσιον ἔργον καταλείπεται μόνος ἐν τῷ Πηλίῳ· καὶ πλαζόμενος ἐντυγχάνει Χείρωνι τῷ Κενταύρῳ. ἱκετεύοντα δὲ αὐτὸν ὑποδέχεται ἐκεῖνος εἰς τὸ ἄντρον· καὶ Πηλεὺς ἀγείρας πολλὰ πρόβατα καὶ βοῦς, ἄγει πρὸς τὸν Ἶρον κατὰ ποινὴν τοῦ φόνου· ταύτην οὐχ ὑποδέχεται τὴν ποινὴν ὁ Ἶρος· ἀλλὰ Πηλεὺς ἀπαγαγὼν, ἀφίησι κατὰ χρησμὸν θεοῦ· καὶ τὰ πρόβατα νομέων ἔρημα λύκος ἐπελθὼν κατέδει· καὶ ὁ λύκος οὗτος κατὰ δαίμονα μεταβαλὼν, ἐγένετο πέτρος· ὃ ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδος καὶ τῆς Φωκέων γῆς.

Ἀρκεοφῶν. λθ'. Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ β'.

Ἀρκεοφῶν ὁ Μιννυρίδου, πόλεως μὲν ἦν Σαλαμῖνος τῆς ἐν Κύπρῳ· γονέων δὲ οὐκ ἐπιφανῶν, ἦσαν γὰρ ἐκ Φοινίκης· χρήμασι δὲ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ πλεῖστον ὑπερήνεγκεν. οὗτος ἰδὼν τὴν θυγατέρα τὴν Νικοκρέοντος τοῦ Σαλαμινίων βασιλέως, ἠράσθη· γένος δ' ἦν τοῦ Νικοκρέοντος ἀπὸ Τεύκρου τοῦ ξυνελόντος Ἴλιον Ἀγαμέμνονι. διὸ καὶ μᾶλλον ὁ Ἀρκεοφῶν ἐφίετο τοῦ γάμου τῆς παιδὸς· καὶ ὑπέσχετο πλεῖστα παρὰ τοὺς ἄλλους μνηστῆρας ἀποίσειν ἕδνα. Νικοκρέων δ' οὐχ ὑπεδέχετο τὸν γάμον κατ' αἰσχύνην γένους τοῦ Ἀρκεοφῶντος, ὅτι αὐτῷ πατέρες ἦσαν Φοίνικες. Ἀρκεοφῶντι δ' ἀποτυγχα-

νομιζόμενος πρὸς τὸν γάμον, πολὺ χαλεπώτερος ἦν ὁ ἔρως· καὶ νυκτὸς ἐπὶ τὰ οἰκία τῆς Ἀρσινόης ἐφοίτα, καὶ διενυκτέρευσε μετὰ τῶν ἡλικιωτῶν· ἐπεὶ δὲ αὐτῷ πρὸς τὸ ἔργον οὐδὲν ἐτυγχάνετο, πείθει τροφὸν ἑαυτοῦ, καὶ πλεῖστα δῶρα πέμψας, ἐπειράθη τῆς παιδὸς, εἴπως αὐτὸν δύναιτο κρύφα μιχθῆναι τῶν γονέων· ἡ δὲ παῖς ἐπεὶ τὸν λόγον ἡ τροφὸς αὐτῇ προσήνεγκε, κατεμήνυσε πρὸς τοὺς γονέας· οἱ δὲ γλῶσσαν ἄκραν, καὶ ῥῖνα καὶ δακτύλους ἀποτεμόντες τῆς τροφοῦ· καὶ χρησάμενοι ἀνοικτρῶς, ἐξήλασαν ἐκ τῶν οἰκιῶν· καὶ πρὸς τὸ ἔργον ἐνεμέσησεν ἡ θεός· Ἀρκεοφῶν μὲν οὖν καθ' ὑπερβολὴν πάθους καὶ ἀπορίαν τῶν πρὸς τὸν γάμον ἐκφορῶν ἀποθνήσκει κατὰ τροφῆς ἔνδειαν· οἱ δὲ πολῖται τὸν θάνατον οἰκτείραντες ἐπένθησαν· ἡμέρᾳ δὲ τρίτῃ τὸ σῶμα προήνεγκαν εἰς ἐμφανὲς οἱ προσήκοντες. καὶ οἱ μὲν ἔμελλον κηδεύσειν. Ἀρσινόη δὲ πρὸς ὕβριν ἐπεθύμησεν, ἐκ τῶν οἴκων ἐκκύψασα τὸ σῶμα τὸ τοῦ Ἀρκεοφῶντος κατακαιόμενον ἰδεῖν· καὶ ἡ μὲν ἐθεᾶτο· μισήσασα δὲ τὸ ἦθος Ἀφροδίτη, μετέβαλεν αὐτὴν καὶ ἐποίησεν ἐξ ἀνθρώπου λίθον, καὶ τοὺς πόδας ἐρρίζωσεν εἰς τὴν γῆν.

Βειτόμαρτις. μ.

Κασσιεπείας τῆς Ἀραβίου καὶ Φοίνικος τοῦ Ἀγήνορος ἐγένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεὺς, ἐγέννησε Βειτόμαρτιν· αὕτη φυγοῦσα τὴν ὁμιλίαν τῶν ἀνθρώπων,

ἀνθρώπων, ἠγάπησεν ἀεὶ παρθένος εἶναι· καὶ παραγένετο πρῶτα μὲν ἐπ' Ἄργος ἐκ Φοινίκης, πρὸς τὰς Ἐρασίνου θυγατέρας Βύζην καὶ Μελίτην, καὶ Μαίραν, καὶ Ἀγχιρόην· ἔπειτα δ' ἐκ τοῦ Ἄργους εἰς Κεφαλληνίαν ἀφῖκτο, καὶ αὐτὴν ὠνόμαζον οἱ Κεφαλλῆνες, Λαφρίαν· καὶ ἱερὸν ἦγαγον ὡς θεῷ· ἔπειτα ἔρχεται εἰς Κρήτην, καὶ αὐτὴν ἰδὼν Μίνως καὶ ἐρασθεὶς, ἐδίωκεν· ἡ δὲ κατέφυγε πρὸς ἄνδρας ἁλιέας· οἱ δὲ αὐτὴν κατέδυσαν εἰς τὰ δίκτυα, καὶ ὠνόμασαν ἐκ τούτου Κρῆτες Δίκτυνναν, καὶ ἱερὰ προσηνέγκαν. ἐκφυγοῦσα δὲ Μίνωα, ἀφίκετο ἡ Βριτόμαρτις εἰς Αἴγιναν ἐν πλοίῳ σὺν ἀνδρὶ ἁλιεῖ Ἀνδρομήδει· καὶ ὁ μὲν αὐτῇ ἐνεχείρησεν ὀρεγόμενος μιχθῆναι· ἡ δὲ Βριτόμαρτις ἀποβᾶσα ἐκ τοῦ πλοίου κατέφυγεν εἰς ἄλσος, ὅθιπερ ἐστὶ νῦν αὐτῆς τὸ ἱερὸν, κἀνταῦθα ἐγένετο ἀφανὴς, καὶ ὠνόμασαν αὐτὴν Ἀφαίαν· ἐν δὲ τῷ ἱερῷ τῆς Ἀρτέμιδος τὸν δὲ τόπον ἐν ᾧ ἀφανὴς ἐγένετο ἡ Βριτόμαρτις, ἀφιέρωσαν Αἰγινῆται, καὶ ὠνόμασαν Ἀφαίαν· καὶ ἱερὰ ἐπετέλεσαν ὡς θεῷ.

Κέφαλος ὁ Δηΐονος ἔγημεν ἐν Θορικῷ τῆς Ἀττικῆς Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως· ἦν δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ ἀνδρεῖος· ἐρασθεῖσα δὲ διὰ τὸ κάλλος ἥρπασεν αὐτὸν Ἠὼς, καὶ ἐποιήσατο σύνοικον· τότε δ' οὖν ὁ Κέφαλος Ἀλλόπη καὶ μά.

ἐπειρᾶτο τῆς Πρόκριδος εἰς συμμιγῆν ἀδιάφθορος αὐτῷ ἐθελήσαι· καὶ αὐτὸς μὲν καθ' ἥντινα πρόφασιν ἐσκήψατο εἰς θήρας ἰέναι· Πρόκριδι δὲ εἰσαπέστελλεν ἄνδρα οἰκέτην ἀγνῶτα φέροντα χρυσὸν πολύν· καὶ αὐτὸν ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν, ὅτι ἀνὴρ ξένος ἐρασθεὶς διδοῖ τοῦτο τὸ χρυσίον, εἰ αὐτῷ συγγένοιτο· ἡ δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπελέγετο τὸν χρυσόν· ἐπεὶ δὲ διπλάσιον εἰσέπεμψε, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον, ὁ δὲ Κέφαλος ὅτε αὐτὴν ἔγνω παρελθοῦσαν εἰς τὸν οἶκον, καὶ κατακλινεῖσαν ὡς παρὰ τὸν ξένον, * δᾶδα καιομένην παρήνεγκεν καὶ κατεφώρασεν αὐτήν· Πρόκρις δὲ καταλιποῦσα τὸν Κέφαλον ὑπ' αἰσχύνης, ᾤχετο φεύγουσα παρὰ Μίνωα τὸν βασιλέα τῶν Κρητῶν· καταλαβοῦσα δ' αὐτὸν ἐχόμενον ὑπ' ἀτεκνίας ὑπισχνεῖτο καὶ ἐδίδασκεν τὸν τρόπον αὐτῷ, ὄφεις καὶ σκορπίους καὶ σκολοπένδρας, εἰ γένοιντο παῖδες· ὁ γοῦν Μίνως οὔρεσκεν· καὶ ἀπέθνησκον αἱ γυναῖκες ὅσαις ἐμίγνυτο· Πασιφάη δ' ἦν Ἡλίου θυγάτηρ ἀθάνατος· ἡ γ' οὖν Πρόκρις ἐπὶ τῇ γονῇ τοῦ Μίνωος, μηχανᾶται τοιόνδε· κύστιν αἰγὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν, καὶ ὁ Μίνως σὺν ὄφεις πρότερον ἐξέκρινεν εἰς τὴν κύστιν· ἔπειτα δὲ παρὰ τὴν Πασιφάην εἰσιὼν, ἐμίγνυτο· καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες, ὁ Μίνως

διδοῖ

διδοῖ τῇ Πρόκριδι τὸν ἄκοντα καὶ τὸν κύνα. τούτους δὲ οὐδὲν ἐξέφυγε θηρίον, ἀλλὰ πάντα ἐχειροῦτο· καὶ ἡ Πρόκρις δεξαμένη, ἀφίκετο εἰς Θορικὸν τῆς Ἀττικῆς, ὅπου ᾤκει ὁ Κέφαλος· καὶ σὺν αὐτῷ ἐκυνηγέτει, ἐξαλλάξασα τὴν ἐσθῆτα, καὶ τὴν κουρὰν τῆς κεφαλῆς εἰς ἄνδρα. καὶ οὐδεὶς αὐτὴν ἰδὼν ἐγνώρισε. Κέφαλος δὲ ἰδὼν ὅτι αὐτῷ μὲν οὐδὲν ἐπετύγχανε τῶν πρὸς τὴν θήραν, ἅπαντα δὲ συνέφερε πρὸς τὴν Πρόκριν, ἐπεθύμησεν αὐτὸς τὸν ἄκοντα τοῦτον λαβεῖν· καὶ προσυπέσχετο δώσειν, εἰ αὐτῇ τῆς ὥρας ἐθελήσαι τῆς ἑαυτοῦ χαρίσασθαι· ὁ δὲ Κέφαλος παρέχεται τὸν λόγον, καὶ ὅτε κατεκλίνησαν ἐξέφηνεν ἑαυτὴν ἡ Πρόκρις, καὶ ὠνείδισε τὸν Κέφαλον, ἧ αὐτὸς πολὺ αἴσχιον ἐξαμάρτοι. Καὶ τὸν μὲν κύνα καὶ τὸν ἄκοντα λαμβάνει Κέφαλος· Ἀμφιτρύων δὲ χρῄζων τοῦ κυνὸς, ἐξίκετο παρὰ τὸν Κέφαλον, εἴγε ἐθελήσειεν ἅμα αὐτῷ ἰθὶ τὴν Ἀλώπεκα βιῶσαι σὺν τῷ κυνὶ, καὶ ὑπέσχετο τῆς λείας ἀμφιτρύων ἀποκρίσειν τῷ Κεφάλῳ τὴν μοῖραν, ἣν ἂν ἐκ τῶν Τηλεβόων λάβῃ· ἐφαίνη γὰρ ἐν χρόνῳ τούτῳ Καδμείοις ἀλώπηξ, χρῆμά τι ἐξηλλαγμένον· αὕτη συνεχῶς ἐκ τοῦ Τευμησοῦ κατιοῦσα, πολλάκις τοὺς Καδμείους ἥρπαζε· καὶ αὐτῇ προὐτίθεσαν παιδίον διὰ τριακοστῆς ἡμέρας· ἡ δὲ κατήσθιε

λαμβάνουσα, καὶ ἐπειδὴ Ἀμφιτρύωνος ἰόντος ἐδεήθη Καδμείων ἐπὶ Τηλεβόας αὐτῷ συστρατεῦσαι, καὶ οἱ δ' οὐκ ἔφασαν εἰ μὴ αὐτοῖς τὴν ἀλώπεκα συνεξέλοι συντίθεται Ἀμφιτρύων ἐπὶ τούτοις πρὸς τοὺς Καδμείους· καὶ ἐλθὼν πρὸς τὸν Κέφαλον, ἔλεγεν τὴν συνθήκην. καὶ ἔπειθε βλῶσαι εἰς ἆθλον τῷ κυνί· ὁ δὲ Κέφαλος ἀποδέχεται, καὶ ἐλθὼν κυνηγετεῖ τὴν ἀλώπεκα, ἦν δὲ θεμιτὸν, οὔτε τὴν ἀλώπεκα καταληφθῆναι ὑπό τινος διώκοντος· οὐδὲ τὸν κύνα ἐκφυγεῖν διωκόμενον οὐδέν· ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ πεδίῳ τῶν Θηβαίων, Ζεὺς ἰδὼν, ἐποίησεν ἀμφοτέρους λίθους.

Τέλος τῆς Ἀντωνίνου Λιβέραλις Μεταμορφώσεων συναγωγῆς.

ΦΛΕ

ΦΛΕΓΟΝΤΟΣ ΤΡΑΛΛΙΑΝΟΥ ἀπελευθέρου καίσαρος περὶ θαυμασίων καὶ μακροβίων.

* * *

Ἐλλείπει τινά.

εἰς δὲ τὸν ξενῶνα προσπορευθεῖσα ταῖς θύραις, καὶ καιομένου τοῦ λύχνου, καθημένην εἶδεν τὴν ἄνθρωπον παρὰ τῷ Μαχάτῃ· οὐκ ἔτι δὲ καρτερήσασα πλείονα χρόνον διὰ τὸ θαυμαστὸν τῆς φαντασίας, τρέχει πρὸς τὴν μητέρα, καὶ βοήσασα μεγάλῃ τῇ φωνῇ, Χαρίσι καὶ Δημοστράτε, ᾤετο δεῖν ἀναστάντας, πρὸς τὴν θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι γὰρ ζῶσαν, εἶναί τε μετὰ τοῦ ξένου διά τινα θείαν βούλησιν ἐν τῷ ξενῶνι· τῆς δὲ Χαρίτους παράδοξον λόγον ἀκουούσης, συνέβη τὴν ψυχὴν τὸ μὲν πρῶτον ἐκπλαγῇ γενομένην ἐκλυθῆναι, διὰ τὸ μέγεθος τῆς ἀγγελίας καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ· μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς κλαίειν· τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν, κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως· ὀνειδιζούσης δὲ τῆς τροφοῦ, καὶ λεγούσης μετὰ παρρησίας, ὡς αὐτὴ

φονεῖ τε καὶ ἐγγύς ἐστιν· εἰ δὲ δι' ὄκνον οὐ βούλοιτο τὴν ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ τὰ μὲν βιασθεῖσα ὑπὸ τῆς τροφοῦ, τὰ δὲ εἰδῆσαι βουλομένη τὸ συμβεβηκὸς, παραγίνεται πρὸς τὰς θύρας τοῦ ξενῶνος, διὰ τὸ γεγονέναι πλείονα χρόνον, ὡς ἂν δευτέρας ἀγγελίας συντετελεσμένης, ὀψέ ποτε ἧκεν ἡ Χαριτώ· διὸ συνέβαινεν ἐκείνους μὲν ἤδη ἀναπαύεσθαι. Ἀνακύψασα δ' οὖν ἡ μήτηρ τά τε ἱμάτια, καὶ τὸν τύπον τῆς ὄψεως, ἐνόμιζεν ἀναγινώσκειν· τὴν δὲ ἀλήθειαν ἐξετάσαι κατ' οὐδένα τρόπον δυναμένη, τὴν ἡσυχίαν ᾤετο δεῖν ἔχειν. πρωῒ γὰρ ἤλπιζεν ἀναστᾶσα, καταλήψεσθαι τὴν ἄνθρωπον· ἐὰν δὲ ὑστερήσῃ, διερωτήσειν τὸν Μαχάτην περὶ πάντων· οὐ γὰρ ἄν ποτε ψεύσασθαι τηλικαύτην πρᾶξιν ἐρωτώμενον αὐτόν· διόπερ σιωπήσασα, ἀπῆλθεν· Ὄρθρου δὲ γινομένου, τὴν μὲν εἴτε διὰ θείαν βούλησιν, εἴτε κατ' αὐτοματισμὸν λαθοῦσαν, ἀπελθεῖν συνέβη. τῇ δὲ παραγινομένην, διὰ τὴν ἀπόλυσιν δυσφορεῖν τῷ νεανίσκῳ· καὶ τῷ ξένῳ πάντα ἐξ ἀρχῆς ἐξηγησαμένην, ἀξιοῦν περὶ τὰ γόνατα περιπλεκομένην τοῦ Μαχάτου, τὴν ἀλήθειαν εἰπεῖν, μηδὲν ἀποκρυψαμένην· ὁ δὲ νεανίσκος ἀγωνιάσας, τὴν ἀρχὴν μὲν διεταράχθη· μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς

εἰσόδου

εἰσόδου, καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσε καὶ ὡς ἥκει, ὅτι λάθρα τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτόν· τά τε ἀπολελειμμένα ὑπὸ τῆς ἀνθρώπου βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστόν, ἀνοίξας τὸν ῥίσκον, ἐξαιρεῖ τόν τε δακτύλιον τὸν χρυσοῦν, ὃν ἔλαβε παρ' αὐτῆς, καὶ τὴν στηθοδεσμίδα, ἣν ἀπελελοίπει τῇ πρότερον νυκτί. Ὡς δὲ εἶδεν ἡ Χαριτὼ τηλικαῦτα σημεῖα, ἀναβοᾷ, καὶ διαρρήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον, πεσοῦσα τε εἰς τὴν γῆν, καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν, ἐξ ἀρχῆς ἐποιεῖτο πένθος. Θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον, καὶ πάντας ὄντας ὑπερπαθεῖς, καὶ θρηνοῦντας, ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο, καὶ παρεκάλει δεόμενος παύσασθαι· ἐπαγγελλόμενος ἐὰν παραγίνηται, δείξειν αὐτήν· ἡ δὲ πεισθεῖσα, καὶ ἐντειλαμένη αὐτῷ φροντίζειν μὴ παρέργως τῶν ἐπηγγελμένων, ἀπελύθη πρὸς αὐτήν. Νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτόν· οἱ μὲν προσετήρουν, εἰδῆσαι θέλοντες τὴν ἄφιξιν· ἡ δὲ ἧκεν· εἰσελθούσης δὲ κατὰ τὸν ἐθισμένον καιρόν, καὶ καθεζομένης ἐπὶ τὴν κλίνην, οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάζειν δὲ τὸ πρᾶγμα

βουλόμενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκρὰ πλησιάζοι; οὕτως εὐθημερῶς παραγινομένη κατὰ τὸν αὐτὸν καιρόν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ, καὶ συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγειλαν· ᾤετο δὲ νεκροσύλας τινὰς διωρυχέναι τὸν τάφον, καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ χρύσια τῷ πατρὶ τῆς ἀνθρώπου· βουλόμενος οὖν τὴν ἀκρίβειαν εἰδῆσαι, πέμπει τοὺς παῖδας λάθρα καλοῦντας αὐτούς· ταχέως δὲ παραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς Χαριτοῦς, ἰδόντων τε αὐτὴν καὶ γενομένων τὸ μὲν πρῶτον ἀφώνων τε καὶ ἐκπλαγῶν διὰ τὸ παράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων μέγα, καὶ περιπεσόντων τῇ θυγατρί· τότε ἡ Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς. Ὦ μῆτερ καὶ πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ ξένου ἐπὶ τρεῖς ἡμέρας γενέσθαι ἐν τῇ πατρῴᾳ οἰκίᾳ λυποῦσαν οὐδέν· τοιγαροῦν ὑμεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς, διὰ τὴν πολυπραγμοσύνην· ἐγὼ δὲ ἄπειμι πάλιν εἰς τὸν διατεταγμένον τόπον. Οὐ γὰρ ἄνευ θείας βουλήσεως ἦλθον εἰς ταῦτα. Τοσαῦτα εἰποῦσα, παραχρῆμα ἐγένετο νεκρά, ἐξετέτατό τε ἐπὶ τῆς κλίνης ἐμφανὲς τὸ σῶμα· τῆς δὲ μητρὸς περιχυθείσης, καὶ τοῦ πατρὸς περὶ αὐτήν, καὶ θορύβου πολλοῦ καὶ θρήνου κατὰ τὴν

οἰκίαν γενομένου διὰ τὸ πάθος, ὡς ἀνηκέστου γεγονότος θεάματος, ἅμα τε ἀπίστου συμπτώματος, ταχέως ἐγένετο διὰ πόλεως τὸ πρᾶγμα περιβόητον, καί μοι προσηγγέλη. Τὴν μὲν οὖν νύκτα ἐκείνην διακατέσχον ἐγὼ τοὺς ὄχλους, ἀθροιζομένους ἐπὶ τὴν οἰκίαν, εὐλαβηθεὶς μή τις εἴη νεωτερισμὸς, διαδεδομένης τοιαύτης φήμης· ὄρθρου δὲ βαθέος πλῆρες ἦν τὸ θέατρον. Ῥηθέντων δὲ πάντων κατὰ μέρος, ἔδοξεν πρῶτον εἰσελθεῖν ἐπὶ τὸν τάφον ἡμᾶς, καὶ ἀνοίξαντας εἰδῆσαι, πότερον εἴη τὸ σῶμα ἐπὶ τῆς κλίνης, ἢ κενὸν τὸν τόπον εὑρήσομεν· οὐδὲ γὰρ ἑξάμηνος ἐγεγόνει τοῦ θανάτου τῆς ἀνθρώπου· ἀνοιχθείσης δὲ ὑφ' ἡμῶν τῆς καμάρας, εἰς ἣν πάντες οἱ οἰκεῖοι μεταλλάσσοντες ἐτίθεντο, ἐπὶ μὲν τῶν ἄλλων κλινῶν ἐφαίνετο τὰ σώματα κείμενα, τῶν δὲ παλαιοτέρων τετελευτηκότων τὰ ὀστᾶ· ἐπὶ μόνης δὲ ἧς ἡ Φιλίννιον ἐτέθη καὶ συνέβη ταφῆναι, εὕρομεν ἐπικείμενον τὸν δακτύλιον τὸν σιδηροῦν, ὃς ἦν τοῦ ξένου, καὶ τὸ χρυσόκλυστον ποτήριον, ἅπερ ἔλαβε παρὰ τοῦ Μαχάτου τῇ πρώτῃ τῶν ἡμερῶν· θαυμασάντων δὲ καὶ ἐκπλαγέντες, εὐθέως πορευόμεθα πρὸς τὸν Δημόστρατον εἰς τὸν ξενῶνα, ὀψόμενοι τὴν νεκρὰν εἰ κατ' ἀλήθειαν ἐμφανής ἐστιν· ἰδόντων δὲ χαμαὶ κειμένην, εἰς τὴν

εἰς τὴν ἐκκλησίαν ἠθροιζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τε ἦν καὶ ἄπιστα. Θορύβου δὲ ὄντος νεανικοῦ κατὰ τὴν ἐκκλησίαν, καὶ σχεδὸν οὐδενὸς δυναμένου κρῖναι τὰ πράγματα, πρῶτος Ὕλλος ὀνομαζόμενος παρ' ἡμῖν, οὐ μόνον μάντις ἄριστος, ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα συνεωρακὼς ἐν τῇ τέχνῃ περιττῶς, ἀναστὰς ἐκέλευεν τὴν μὲν ἄνθρωπον κατακλεῖσαι ἐκτὸς ὁρίων, (οὐ γὰρ συμφέρειν ἐπὶ ταύτην ἐντὸς ὁρίων τεθῆναι εἰς γῆν· ἀποτροπιάσασθαι δὲ Ἑρμῆν χθόνιον καὶ Εὐμενίδας·) εἶτα οὕτω περικαθαίρεσθαι πάντας· ἁγνίσαι δὲ καὶ τὰ ἱερά, καὶ ὅσα θεοῖς χθονίοις νομίζεται ποιῆσαι συνέταξεν· ἐμοί τε ἰδίᾳ εἶπεν περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων, θύειν τε Ἑρμῇ, Διί τε Ξενίῳ καὶ Ἄρει· καὶ συντελεῖν ταῦτα μὴ παρέργως. Ταῦτα δὲ ἀποφηναμένου τούτου, τὸ μὲν συνταχθὲν ἡμεῖς ἐπράττομεν· ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν παρεγίνετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγεν τοῦ ζῆν· ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράφειν τῷ βασιλεῖ, ἐπίστειλον κἀμοί, ἵνα καὶ τῶν σωμάτων τινὰ τῶν ἱστορούντων τὰ κατὰ μέρος ἐξαποστείλω σοι. ἔρρωσο.

Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος, καὶ ἐν Αἰτωλίᾳ φάσμα γενέσθαι· Πολύ-

κριτος

κριτος γάρ τις τῶν πολιτῶν, ἐχειροτονήθη ὑπὸ τοῦ δήμου Αἰτωλάρχης, ἐπὶ τρία ἔτη τῶν πολιτῶν αὐτὸν ἀξιωσάντων, διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκἀγαθίαν· ὢν δὲ ἐν τῇ ἀρχῇ ταύτῃ ἄγεται γυναῖκα Λοκρίδα, καὶ συγκοιμηθεὶς τρισὶ νυξί, τῇ τετάρτῃ τὸν βίον ἐξέλιπεν· ἡ δ' ἄνθρωπος ἔμενεν ἐν τῇ οἰκίᾳ χηρεύουσα· ἡνίκα δ' ὁ τοκετὸς ἤπειγεν, τίκτει παιδίον, αἰδοῖα ἔχον δύο ἀνδρεῖόν τε καὶ γυναικεῖον, τὴν φύσιν θαυμαστῶς διηλλαγμένον· τὰ μὲν ἄνω τοῦ αἰδοίου ὁλόκληρά τε καὶ ἀνδρώδη ἦν· τὰ δὲ περὶ τοὺς μηροὺς, γυναικεῖα καὶ ἁπαλώτερα· ἐφ' ᾧ καταπλαγέντες οἱ συγγενεῖς, ἀπήνεγκαν εἰς τὴν ἀγορὰν τὸ παιδίον, καὶ συναγαγόντες τὴν ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ· θύτας τε καὶ τερατοσκόπους συγκαλέσαντες· τῶν δὲ οἱ μὲν ἀπεφήναντο διάστασίν τινα τῶν Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι· κεχωρίσθαι γὰρ ἀπὸ μητρὸς οὔσης Λοκρίδος, καὶ πατρὸς Αἰτωλοῦ· οἱ δὲ δεῖν ᾤοντο, τὸ παιδίον καὶ τὴν μητέρα ἀπενεγκόντας εἰς τὴν ὑπερορίαν, κατακαῦσαι. Ταῦτα δὲ αὐτῶν βουλευομένων, ἐξαίφνης φαίνεται ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇ ἐκκλησίᾳ, πλησίον τοῦ τέκνου, ἔχων ἐσθῆτα μέλαιναν· τῶν δὲ πολιτῶν καταπλαγέντων ἐπὶ τῇ φαντασίᾳ, καὶ πολλῶν εἰς φυ-

γὴν

γῆν τρεπομένων, παρεκάλεσε τοὺς πολίτας θαῤῥεῖν, καὶ μὴ ταράττεσθαι ἐπὶ τῷ γεγονότι φάσματι. Ἐπεὶ δὲ ἔληξε τὸ πλεῖον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῇ τῇ φωνῇ τάδε. Ἐγὼ ἄνδρες πολῖται, τῷ μὲν σώματι τέθνηκα, τῇ δὲ εὐνοίᾳ καὶ τῇ χάριτι πρὸς ὑμᾶς, ζῶ· καὶ νῦν πάρειμι πρὸς ὑμᾶς τοὺς κυριεύοντας τῆς κατὰ γῆν, ἐπὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ· παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι, μηδὲ δυσχεραίνειν, ἐπὶ τῷ παραδόξῳ γεγονότι φάσματι· δέομαι δὲ ὑμῶν ἁπάντων κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀποδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται, ἄλλό τι βουλευσαμένων ὑμῶν· μὴ δ' ἀρχὴ πραγμάτων δυσκόλων καὶ χαλεπῶν, διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται· οὐ γὰρ ἐνδέχεταί με περιϊδεῖν κατακαυθὲν τὸ παιδίον ὑφ' ὑμῶν, διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων, ἀποπληξίαν· συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες, ἀπορεῖτε πῶς ποτε τοῖς παροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. Εἰ μὲν οὖν ἐμοὶ πειθήσεσθε, ἀδεῶς τῶν παρόντων φόβων, καὶ τῶν ἐπερχομένων κακῶν, ἔσεσθε ἀπηλλαγμένοι. Εἰ δὲ ἄλλως πῶς τῇ

γνώμῃ

γνώμη προαπεστείλατε, φοβοῦμαι περὶ ὑμῶν, “
μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπελθόντων “
ἡμῖν ἐμπέσητε. Ἐγὼ μὲν οὖν διὰ τὴν ὑπάρ- “
χουσαν εὔνοιαν, ὅτ' ἔζων καὶ νῦν ἀπροσδοκή- “
τως πεσών, προείρηκα τὸ συμφέρον ὑμῖν. ταῦτ' “
οὖν ὑμᾶς ἀξιῶ, μὴ πλείω με χρόνον παρέλ- “
κειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς, καὶ πεισθέν- “
τας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ, δοῦναί μοι μετ' “
εὐφημίας τὸ παιδίον. Οὐ γὰρ ἀνέχεταί μοι “
πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γῆν “
ὑπάρχοντας δεσπότας. Ταῦτα δὲ εἰπών,
ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν
ποτὲ ἐξοίσουσιν αὐτῷ γνώμην περὶ τῶν
ἀξιουμένων. τινὲς μὲν οὖν ᾤοντο δεῖν ἀποδοῦναι
τὸ παιδίον, καὶ ἀφοσιώσασθαι τότε φάσ-
μα, καὶ τὸν ἐπιστάντα δαίμονα. οἱ δὲ πλεῖστοι
ἀντέλεγον, ἐπὶ σχολῆς δεῖν βουλεύσασθαι
φάσκοντες ὡς ὄντος μεγάλου τοῦ πράγ-
ματος, καὶ οὐ τῆς τυχούσης αὐτοῖς χρ-
είας. Συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας,
ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν,
ἐφθέγξατο αὖθις τάδε. Ἀλλ' οὖν γε, “
ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τι “
τῶν δυσχερεστέρων διὰ τὴν ἀβουλίαν, “
μὴ ἐμὲ αἰτιᾶσθε, ἀλλὰ τὴν τύχην τὴν οὕ- “
τως ἐπὶ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν· “

ἥτις

,, ἥτις ἐναντιουμένη κἀμοὶ, παρανομεῖν ἀναγκάζει
,, με εἰς τὸ ἴδιον τέκνον. Τοῦ δὲ ὄχλου συστραμόντος, καὶ περὶ τὴν ἁρπαγὴν τοῦ τέρατος ἐχόντος, ἐπιλαβόμενος τοῦ παιδίου, καὶ τοὺς πλείστους αὐτῶν ἀνείρξας ἰταμώτερον, διέσπασέ τε αὐτὸ καὶ ἤσθιε. κραυγῆς δὲ γενομένης, καὶ λίθων ἐπ' αὐτὸν ἐκριπτομένων, ὑπελάμβανον τροπὴν αὐτοῦ ποιήσασθαι. ὁ δὲ ἄπληκτος ὢν ὑπὸ τῶν λίθων, τὸ σῶμα πᾶν τοῦ παιδίου κατανάλωσε πλὴν τῆς κεφαλῆς, καὶ αὐτίκα ἀφανὴς ἐγένετο. Δυσφορούντων δὲ αὐτῶν ἐπὶ τοῖς γενομένοις καὶ ἐν ἀπορείᾳ καθεστηκότων ἐν τῇ τυχούσῃ, βουλομένων τε ἀποστεῖλαι εἰς Δελφοὺς, φθέγγεται ἡ κεφαλὴ τοῦ παιδίου ἐπὶ τοῦ ἐδάφους κειμένη, καὶ λέγει χρησμῷ τὰ ἀποβησόμενα·

Ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
Μὴ στεῖχ' ἐς Φοίβου τέμενος ναόν τε θυώδη,
Οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰθέρ' ἔχουσιν,
Ἀλλὰ μύθου προπάροιθε ποδῶν ἔντοσθε κελεύθου,
Φράζεο δ' ἐξ ἐμέθεν, τρίποδος δ' ἀπόειπε κέλευθον,
Μαντοσύνης πᾶσαν γὰρ ἐφετμὴν σοι καταλέξω.
Ἤματι γὰρ τούτῳ περιτελλομένου ἐνιαυτοῦ,

Ὥρισται

Ὥρισαι πᾶσιν θάνατος (ψυχαὶ δὲ βίον?)
Λοκρῶν Αἰτωλῶν τ᾽ ἀναμὶξ βουλῇσιν Ἀθήνης,
Οὐδ᾽ ἀναπαύλησις κακοῦ ἔσεται, οὐδ᾽ ἠβαιόν.
Ἤδη γὰρ ψεκάδες φόνιαι κατὰ κρᾶτα κέχυνται·
Νὺξ δὲ ἤδη πάντα κέκευθε, μέλας δ᾽ ἤδη δέδρομεν αἴθρη·
Αὐτίκα νὺξ δὲ ὄβριμος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
Χῆροι δ᾽ οἴκοι πάντες ἐπ᾽ οὔδεϊ γυῖα κλινοῦσιν,
Οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οἱδέ νυ παῖδες,
Ἐν μεγάροις γόωσι φίλους πατέρας περιφῶντες·
Τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ᾽ ἄκρης,
Αἶ αἶ πατρίδ᾽ ἐμὴν αἰεὶ στένω, αἰνὰ παθοῦσαν,
Μητέρα τ᾽ αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν αἰών,
Νώνυμόν τε θεοὶ γένεσιν θήσουσιν ἁπάντων·
Λοκρῶν τ᾽ Αἰτωλῶν τ᾽ ὅτι που καὶ σπέρμα λίποιτο,

Οὕνεκ' ἐμὴν κεφαλὴν λίποι αἰών, οὐδέ νυ πάντα,
Σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν,
Ἀλλά γ' ἐμὴν κεφαλὴν θέμεν' Ἠοῖ φαινομένηφι·
Μὴ δέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν οὖδον·
Αὐτοὺς δὲ προλιπόντας ἑὸν χῶρον μετόπιθεν,
Στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
Εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

Ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ, γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα, τούς τε ὑπεργήρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο· αὐτοὶ δὲ ἔμενον, καραδοκοῦντες τὸ ἀποβησόμενον, καὶ συνέβη τῷ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον, καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

Ἱστορεῖ δὲ καὶ Ἀντισθένης Περιπατητικὸς φιλόσοφος, Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον, μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος, καὶ Λευκίου Οὐαλερίου Φλάκκου, παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις, γενναίως τε ἀγωνισάμενον, βιάσασθαι, ῥῖψαι μὲν τὰ ὅπλα τοὺς

μετ'

μὲτ' Ἀντιόχου· αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἰταλίαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν· ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκασθῆναι ὑπεξελθεῖν· ὁ δὲ Ἀκίλιος Κάτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν, ἀπαγγελοῦντα τὴν νίκην· αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστράτευσεν, ἣν ἐξ εὐμαροῦς ἔλαβεν· ἐν δὲ τῇ παρατάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις, ἐπιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις· ἐπιφανέντος γὰρ Ἀντιόχου, καὶ φυγόντος τῇ ἐπιούσῃ ἡμέρᾳ, ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων, καὶ περὶ συλλογὴν λαφύρων τὲ καὶ σκύλων καὶ αἰχμαλώτων· Βούπλαγος δέ τις τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος παρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος· ἀναιρουμένων δὲ τῶν ῥωμαίων πάντα τὰ σκῦλα, καὶ μεσούσης τῆς ἡμέρας, ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων τραύματα δέκα δύο, καὶ παραγενόμενος εἰς τὸ στρατόπεδον αὐτῶν, ἀνεῖπε λεπτῇ φωνῇ τούσδε τοὺς στίχους·

Παῦσαι σκυλεύων στρατὸν Ἄϊδος εἰς χθόνα
βάντα,
Ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα
λεύσσων,

Μηνύει δὲ φόνῳ στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις,
Καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σήν,
Οἵ σ' ἀρχῆς παύσουσιν, ἀμείψει δ' οἷά γ' ἔρεξας.

Ταραχθέντες δὲ οἱ στρατηγοὶ ἐπὶ τοῖς ῥηθεῖσιν, διὰ ταχέων συνήγαγον τὸ πλῆθος εἰς ἐκκλησίαν· καὶ ἐβουλεύοντο περὶ τοῦ γεγονότος φάσματος. ἔδοξεν οὖν τὸν μὲν Βούπλαγον τὸ πρᾶγμα μετὰ τὰ λεχθέντα ἔτη ἀναπνεύσαντα, κατακαύσαντας θάψαι· καθαρμὸν δὲ ποιήσαντας τοῦ στρατοπέδου, θῦσαι Διῒ ἀποτροπαίῳ, καὶ πέμψαι εἰς Δελφοὺς, ἐρωτήσοντας τὸν θεὸν τί χρὴ ποιεῖν. Παραγενομένων δὲ Πυθῶδε τῶν θεωρῶν, καὶ πυνθανομένων τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

Ἴσχεο νῦν ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
Μή σοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη·
Χηρώσῃ δ' ἀγορᾶς· σὺ δὲ νήπιε πολλὰ μογήσας,
Ἴξεαι ἐς χώρην τὴν σὴν, πολλὸν ὄλβον ὀλέσας.

Ἀκούσαντες οὖν τοῦ λόγου τούτου, τὸ μὲν ἐπιστρατεῦσαι ἐπί τινα τῶν ἐν τῇ Εὐρώπῃ κα-

τοικούν

τοιούτων, ἀπέγνωσαν τὸ παράπαν· ἀναζεύξαντες δὲ ἀπὸ τοῦ προειρημένου τόπου, παρεγένοντο ἐπὶ Ναύπακτον τῆς Αἰτωλίας, ὅ ἐστιν ἱερὸν κοινὸν τῶν Ἑλλήνων, εὐτρεπίζοντες θυσίας δημοτελεῖς ἀπαρχάς τε ἐξ ἔθους. Τούτων δὲ ἐπιτελουμένων ὁ στρατηγὸς Πόπλιος ἐμμανὴς γενόμενος καὶ παράφρων, ἀποφθέγγεται πολλά τινα ἐνθουσιωδῶς, τὰ μὲν ἐν μέτρῳ, ἔστιν δ' ἃ καὶ καταλογάδην· διαγγελθέντος δὲ περὶ τὸ πλῆθος τοῦ πράγματος, συνέθεον πάντες πρὸς τὴν σκηνὴν τοῦ Ποπλίου, ἅμα μὲν ὑπαγωνιῶντες καὶ ἐκπεπληγμένοι, ἐπὶ τὸ τὸν κράτιστον αὐτῶν καὶ δυνάμενον ἀφηγεῖσθαι μετ' ἐμπειρίας, ἠτυχηκέναι, ἅμα δὲ ἀκούειν βουλόμενοι τὰ λεγόμενα· ὥστε τινὰς αὐτῶν πιεσθέντας βιαιότερον, ἀποπνιγῆναι. Τὰ μὲν οὖν ἐν μέτρῳ ῥηθέντα ὑπ' αὐτοῦ, ἔτι ὄντων ἐν τῇ σκηνῇ, ἐστὶν τάδε·

Ὦ πατρὶς, οἷόν σοι λυγρὸν φέρει Ἄρη Ἀθήνη,
Ἡνίκα πορθήσασ' Ἀσίην πολύολβον ἵκηαι
Ἰταλίην ἐς γαῖαν ἐϋστεφάνους τε πόληας,
Θρινακίην νῆσον πολυήρατον, ἣν κτίσατο Ζεύς.
Ἥξει γὰρ στρατιὴ πολυφέρτατος ὀβριμόθυμος,
Τηλόθεν ἐξ Ἀσίης ὅθεν ἡλίου ἀντολαί εἰσιν,
Καὶ βασιλεὺς διαβὰς στεινὸν πόρον Ἑλλησπόντου,

Ὅρκια πιστὰ ταμεῖ πρὸς κοίρανον Ἠπειρώτην·
Ἄξει δ' εἰς Ἀσίην στρατιὴν ἀνάριθμον ἀγείρας.
Πάντοθεν ἐκ τ' Ἀσίης ἠδ' Εὐρώπης ἐρατεινῆς,
Καί σε δαμᾷ· χώρους δ' οἴκους καὶ τείχεα θήσει·
Δουλοσύνην δ' ἐπὶ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπούρας
Τεύξει, μηνίδος οὕνεκ' Ἀθηναίης μεγαθύμου.

Ἀνειπὼν δὲ τοὺς στίχους τούτους, ὥρμησεν ἐκ τῆς σκηνῆς ἐν χιτῶνι, καὶ ἀπεφθέγγετο καταλογάδην τάδε. Μηνύω μὲν, ὦ ἄνδρες στρατιῶται καὶ πολῖται, διαβάντας ἐπὶ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον, ναυμαχήσαντάς τε καὶ πεζῇ παραταξαμένους· κυριεῦσαι δὲ τῆς ἐπὶ τάδε τοῦ Ταύρου χώρας πάσης, καὶ τῶν πόλεων τῶν ἐκτισμένων ἐν αὐτῇ, ἐκβαλόντας τὸν Ἀντίοχον εἰς Συρίαν· ταύτην δὲ παραδοθῆναι καὶ τὰς πόλεις, τοῖς Ἀτταλοῦ υἱοῖς· Γαλάτας δὲ τοὺς κατοικοῦντας ἐν τῇ Ἀσίᾳ, παραταξαμένους πρὸς ὑμᾶς ἡττηθῆναι· τῶν δὲ γυναικῶν καὶ τέκνων καὶ τῆς ἀποσκευῆς πάσης, κυριεῦσαι ὑμᾶς, καὶ ἀγαγεῖν εἰς τὴν Εὐρώπην· τοὺς δὲ κατοικοῦντας ἐν τῇ Εὐρώπῃ τὴν παραλίαν Θρᾷκας, τῆς τε Προποντίδος καὶ Ἑλλησπόντου, ἀναλύουσιν ὑμῖν ἀπὸ τῆς στρατείας, ἐπίθεσιν ποιήσασθαι περὶ τὴν τῶν Αἰνιανῶν χώραν, καί τινας διαφθείραντας, ἀφελέσθαι μέρος

τι τῆς

τί τῆς προνομῆς· διαχθέντων δὲ τῶν ἄλλων, καὶ κομισθέντων εἰς Ῥώμην, ἔσεσθαι συνθήκας πρὸς βασιλέα Ἀντίοχον, ἐφ᾽ ᾧ χρήματα μὲν εἰσοίσει, καὶ χώρας τινὸς ἀποστήσεται. Ἀναγορεύσας δὲ ταῦτα, ἀνακεκραγέναι μεγάλῃ τῇ φωνῇ λέγοντα τάδε. Ἐκ τῆς Ἀσίας ὁρῶ διαβαινούσας δυνάμεις χαλκοστέρνους, καὶ βασιλέας ἐπὶ τὸ αὐτὸ συναγομένους, καὶ ἔθνη παντοδαπὰ ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων τε ψόφον, καὶ φόνον αἱματόφυρτον, λεηλασίαν τε δεινὴν, πτώσεις τε πύργων καὶ τειχῶν κατασκαφὰς, ζημίαν τε χθονὸς ἀμύθητον. Ταῦτα δὲ εἰπὼν, ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

Ἡνίκα Νισαῖαι χρυσάμπυκες ἀργέται ἵπποι,
Βῶσιν ἐπὶ χθόνα δῖαν, ἐὴν προλιπόντες ἕδρην,
Οὕς ποτ᾽ ἐν ἄστει θρέψε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠπείρων φιλίαν πολυήρατον αὔξων,
Δαῖτ᾽ ἐπὶ χαλκείῃ, δεσμοῖς δ᾽ ἐπὶ δεσμὸν ἴαλλεν
Χρύσεον· ἐν δ᾽ αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν,
Ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
Καὶ τότε σοὶ Ῥώμη χαλεπ᾽ ἄλγεα πάντα τελεῖται,
Ἥξει γὰρ στρατὸς εὐρὺς, ὃς οὐ χθόνα πᾶσαν ὀλέσσει,
Χηρώσει δ᾽ ἀγορὰς, ἄστη δέ τε πυρπολαθήσει·

Αἵματι δὲ πλήσει ποταμοὺς, πλήσει δὲ καὶ ᾅδην·
Δουλοσύνην τ' οἰκτρὴν στυγερὴν ἀτέκμαρτον ἐφέσσει·
Οὐδὲ γυνὴ πόσιν ὃν γ' ὑποδέξεται ἐκ πολέμοιο
Νοστήσαντ', Ἀΐδης δὲ καταχθόνιος μελανείμων
Ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς πολεμήσει δούλιον ἦμαρ.

Ἀποφθεγξάμενος δὲ ταῦτα, ἐσιώπησεν, καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου, ἀνέβη ἐπί τινα δρῦν· ἐπακολουθήσαντος δὲ τοῦ ὄχλου, προσεκαλέσατο αὐτὸν, καὶ εἶπε τάδε· Ἐμοὶ μὲν, ὦ ἄνδρες Ῥωμαῖοι, καὶ οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου πυρροῦ τὸ μέγεθος καταβρωθῆναι ἐν τῇ σήμερον ἡμέρᾳ· ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇ νῦν ἐσομένῃ ἐπιφανείᾳ τοῦ θηρίου τε καὶ τῇ ἐμῇ ἀναιρέσει ὅτι ἀληθῆ εἴρηκα, ἔκ τινος θείας ὑποδείξεως. Τοσαῦτα δὲ εἰπὼν, ἐκέλευσεν αὐτοὺς ἀποστῆναι, καὶ μηδένα κωλῦσαι τὸ θηρίον προσελθεῖν, φάσκων, ἐὰν ἀποστρέψωσιν, οὐ συνοίσειν αὐτοῖς· ποιήσαντος δὲ τοῦ πλήθους

τὸ προ-

τὸ προσταχθὲν οὐκ εἰς μακρὰν παραγίνεται, ὁ λύκος· ἰδὼν δὲ αὐτὸν ὁ Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς, καὶ ἔπεσεν ὕπτιος· ὁ δὲ λύκος ἀνασχίσας αὐτὸν, κατεδαίνυτο πάντων ὁρώντων· ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτράπετο εἰς τὸ ὄρος. Προσελθόντος δὲ τοῦ ὄχλου, καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα, κηδεῦσαί τε αὐτὸν νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς, ἀνεῖπε τοὺς στίχους τούτους·

Μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστὶν
Οἷσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
Ἅπτεσθαι θείοιο καρήατος, ἀλλὰ πέπαυσο,
Μαντοσύνην τ' ἐπάκουσον ἀληθέα ἥπερ ἐρεῖ σοι·
Ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης·
Ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότον Ἄϊδι πέμψει,
Ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρά·
Ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλόχους τε
Μάρψας, εἰς Ἀσίην ἄξει δὴ κῦμα περήσας·
Ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων,

Πύθιος, ὅς μοι ἑὸν κρατερόφρονα θεράποντα
ἐπιπέμψας,
Ἤγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.

Ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων, οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος Λυκίου, καὶ βωμὸν οὗπερ ἔκειτο ἡ κεφαλή, ἐνέβησαν εἰς τὰς ναῦς, καὶ ἀπέπλεον ἕκαστος ἐπὶ τὰς ἑαυτῶν πατρίδας, καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Ποπλίου ῥηθέντα γενέσθαι.

Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος, καὶ Κλίταρχος, καὶ Καλλίμαχος, καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε· Τειρεσίαν τὸν Εὐμάρευς, ἐν Ἀρκαδίᾳ ἄνδρα ὄντα, ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ, ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον, καὶ παραχρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα, καὶ μιχθῆναι ἀνδρί· τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας, ὁμοίως τρώσῃ τὸν ἕνα, ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν, ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα, καὶ οὕτως κομίσασθαι τὴν ἀρχαίαν φύσιν· Διὸς δὲ ἐρίσαντος Ἥρᾳ, καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῆς τῶν ἀφροδισίων ἡδονῆς, καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις, ἐρέσθαι τὸν Τειρεσίαν διὰ τὸ

τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι· τὸν δὲ ἐρωτώμενον, ἀποφήνασθαι· διότι μοιρῶν οὐσῶν δέκα, τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα, τὰς ἐννέα· τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ ποιῆσαι τυφλόν· τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικὴν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά. Οἱ αὐτοὶ ἱστοροῦσι κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτῇ, ὃ ἂν ἐθέλῃ· τὴν δὲ ἀξιῶσαι, μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον· τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα. Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ ποταμῷ, ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κυρβιλίου ἐπικληθέντος· παρθένος γὰρ γονέων ἐπισήμων τρισκαιδεκαέτις ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπής· ὡς δ' ἐνεγγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου, προϊέναι τοῦ οἴκου μέλλουσα, αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δὲ αὐτὴν οἱ προσήκοντες, ἐθεράπευον ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τῶν ἐντός·

τῆς δὲ ἀλγηδόνος ἐπιμενούσης τρισὶν ἡμέραις ἑξῆς ἀχρείαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς, οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καίτοι πᾶσαν μὲν θεραπείαν αὐτῇ προσφερόντων ἐν τῇ πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇ τετάρτῃ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, σὺν μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο· μετὰ δὲ χρόνον, εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον καίσαρα· ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου, ἐν καπετωλίῳ Διῒ ἀλεξικάκῳ ἱδρύσατο βωμόν.

5 Ἐγένετο καὶ ἐν Μηουνίᾳ πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει, ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησι Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου, καὶ Κοΐντου Ἀστερίου Ἀντωνίνου· Φιλωτίς γάρ τις ὀνόματι παρθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατηγγυημένη ἀνδρί· μορίων αὐτῇ προφανέντων ἀῤῥενικῶν, ἀνὴρ ἐγένετο. Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων παῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα· ἀνὴρ δὲ γενόμενος, ὠνομάζετο Συμφέρων· κηπουρῶν δὲ

τὸν

τὸν βίον διῆγεν. Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνὴ ὀνόματι Αἰτητὴ, συνοικοῦσα τῷ ἀνδρὶ ἔτι, μετέβαλε τὴν μορφὴν, καὶ μετωνομάσθη Αἰτητὸς, ἀνὴρ γενόμενος· ἄρχοντος Ἀθήνησι Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Λαμία καὶ Αἰλιανοῦ Οὐέτερος. τοῦτον ἐ αὐτὸς ἐθεασάμην. Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἰάσονος, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Πλαυτίου, καὶ Σέξτου Καρμινίου, Ὑταίου, καὶ Μάρκου Φουλβίου Φλάκκου· δι' ἣν αἰτίαν ἡ σύγκλητος ἐκέλευεν τοὺς ἱερομνήμονας ἀναγνῶναι τοὺς Σιβύλλης χρησμοὺς, καὶ ἐξηγήσαντο τοὺς χρησμούς· εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

Ὅσσα τέρα καὶ ὅσσα παθήματα δαίμονος αἴσης,
Ἴσος ἐμὸς λύσαι· τάδ' ἐνὶ φρεσὶν αἴκε νοήσης,
Ῥώμη ἐξῆ πίσυνος· καί τοι ποτὲ φημὶ γυναῖκα
Ἀνδρόγυνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα,
Νηπιαχαί θ' ὅσσαι θηλύτεραι φαίνουσι γυναῖκες·
Οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω.
Προφρονέως Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ,

Ἴσω

Ἴστω δ' αὐτῇ ἀγαστὰ θεᾷ τὰ μὲν εἴκε πίθησαι,
Σεμνοτάτῃ δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ·
Θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
Ὅττι θέλεις ἀπὸ παμφύλων πόλεών τε καὶ αὐτῶν,
Μητρὶ κόρης δήμητρι κέλευ θυσίαν προτίθεσθαι·
Αὐτὰρ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
Φαιὰς ἠϋκέρους θυέμεν λευκότριχας, αἵ κεν
Ὑμετέρᾳ γνώμῃ κάλλει προφερέσταται ὦσιν·
Παῖδας ὅσας πάρος εἶπα, κέλευ ἀχαϊστὶ τάδ' ἔρδειν,
Ἀθανάτην βασίλειαν ἐπευχομένην θυέεσσιν
Σεμνῶς καὶ καθαρῶς, τότε δὴ μετέπειτα δεχέσθω,
Ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱερ', αὐτὰρ ἐπ' αὐτοῖς
Ἵστω ἐμῷ πίσυνοι λαμπρὸν φάος, αἳ δὲ φερόντων.
lego αὐτὰ Σεμνοτάτῃ δήμητρι τὸ δεύτερον, * αὖται λαβοῦσαι
Τρὶς τόσα νήφαλα πάντα πυρὸς μαλεροῖο τιθοίτων,

Ὅσσαι

Ὅσαι ἐπιςαμένως θυσίαν γραῖαι προτίθονται.
Προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λαβοῦσαι,
Ὅσαι ἐν ἡλικίῃ νεοθαλέα θυμὸν ἔχουσιν,
Νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδίδακτον,
Ἐν πάτρᾳ εὔχεσθαι μίμνειν πολέμου κρατέοντος,
Λήθην Ἑλλήνεσσι, πεσεῖν πόλεώς τε καὶ αὐτῆς.
Θησαυρὸν δ' * ἕτεροι καὶ παρθένοι ἔνθα φερόντων, lego ἑταροὶ
Ἱςῷ θεσπεσίῳ νυμφάσματα ποικίλα σεμνὴν,
Πλούτωνι κοσμεῖσθαι ὅπως * χρεσίησι καθῆσθαι. lego σχίσω
Προφρονέως δ' ὅτι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶψα ἔςι
Ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο τὸ φέρεσθαι·
Ἱςῷ σύμμικτον δῶρον βασιληΐδι κούρῃ·
Αὐτὰρ ὅτ' ἂν Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ·
Γαίας ὑμετέρας ἀπερυκόμεναι ζυγὸν αἰεὶ,
Αἰδωνῆι πλούτωνι βοὸς κυανότριχος αἷμα,
Λαμπροῖς * ἱμᾶσι κοσμητοὺς μετὰ ποιμένος, ὅςις lego ἅμμασι
Ἤματι τῷ πίσυνος βοὸς ἄρτεμος αὐτὸς ὁ δ' ἔςαι
Ὅσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ' ἔασι.

Μὴ

Μὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεστάτω·
Ἔξω δ' † ἔνθ' ἀνόμιστον ἐπέπλετο φωτὶ τάδ' ἔρδειν,

† lego ἔνθα νομιστὸν

* Νήπιοι καὶ ταῦτον ἔχειν θυσίαν, καὶ τὰ δ' αὐτὴν
Ὅστις σὺν ἡμετέρων χρησμῶν ἴδρις ἐς τόδ' ἵκηται,
Σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,
Προφρονέως βωμοῖς ἐπὶ πίονα μηρία καύσας,
Αἰγῶν παλλεύκων νεάτην· ἀτὰρ οἶδατε πάντες,
Λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσας,
Ἱκτῆρες πίπτοντες ὅπως λυσάνης ἀκακήσιο,
Νοστήσασ' δ' ἀπὸ τῆς βασιληΐδα πότνιαν Ἥρην·
Ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,
Ὑμνεῖν αἴκε γυνὴ [a] προφορέστεραι [b] ὡς ἐνὶ λαοῖς,
Καὶ νήσων ναίεται τὴν ἀντιπάλαιον ὅτ' ἂν αἶαν·
Οὐ δόλῳ, ἀλλὰ βία Κυμαΐδα πρόφρονος αὖται,
Νάστων τε σεμνῆς βασιληΐδος οἷς ἐτίθεντο,

a lego αἶνε
b ἀεὶ

Ἐν

Ἐν πατρίοισιν ὁμοῖς Ἥρας ξόανόν τε κατ' οἶκον,
Ἵξει δ' ἂν μύθοισιν ἐμοῖς τάδε πάντα πίθηνται,
Σεμνοτάτην βασίλισσαν ἐπέλθῃς ἐν θυσίαισιν·
Ἐν πολλῷ χρόνῳ αὐτόθ' ἐφ' ὕστερον ὅσκεν ἐπ' αὐτοῖς,
Νήφαλα κεν ῥέξας θεῷ ἡμέρᾳ εἰς ἐνιαυτὸν,
Ὅσκε τάδε ῥέξει κείνου κράτος ἔσσεται αἰεὶ,
Νηφαλίμορον ἀρνῶν τε ταμὼν χθονίοις τάδε ῥέξον,
Ἦμος ἂν ἤδη ἔλθοις μεγαλήτην οὐκ ἀπαύτην
Ξεστοδόταν ξοανῆσιν καὶ τἆλλ' ὅς ἔλεξα σαφῶς,
Ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κόρκιδος ἀμφὶ καλύπτρας
Ἰμόρτος σε βάλεν γλαυκῆς ἐλάας πολυκάρπου,
Ἀλλὰ φῦλλα λαβοῦσα λύσιν κακοῦ ἦμος ἂν ἔλθῃ,
Ὕμμι χρόνος μάλα κεῖνος ἐν ᾧ ποτε πᾶλλαν εογυν·
Τρωσδῆτε καύσεισε κακῶν ἅμα δ' Ἑλλάδος ἐκ γῆς·
Αὐτὰρ σοῦ μεταβᾶσαν ἐπτρεμώῃς ἀγορεῦσαι.

ζ Ἐν

Ἐν δὲ Μεσσήνῃ οὐ πρὸ πολλῶν ἐτῶν, ὥς φησιν Ἀπολλώνιος, συνέβη πίθον λίθου πεποιημένον ῥαγῆναι, χειμώνων βίᾳ καὶ ὕδατος πολλοῦ ἐπενεχθέντος· προχυθῆναι δὲ αὐτοῦ κεφαλὴν τριπλασίαν τῆς ἀνθρωπίνης, τοὺς δὲ ὀδόντας ἔχειν διστοίχους· ἀναζητουμένων δὲ τίνος εἴη ἡ κεφαλή, δηλοῦσθαι τὴν ἐπιγραφήν. Ἴδεω γὰρ ἐγκεχάρακτο· ἕτερον οὖν δημοσίᾳ κατασκευάσαντες πίθον, ἐνέθεσαν καὶ ἀσφαλέστερον ἐκήδευσαν τὸν Ἥρωα οἱ Μεσσήνιοι. τοῦτον ἰδόντες ὄντα περὶ οὗ φησιν Ὅμηρος,

Ἴδεώ θ' ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,
Τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον,
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης.

Ἐν Δαλματίᾳ τε ἐν τῷ τοῦ Ἀρτέμιδος καλουμένῳ σπηλαίῳ, ἔστιν ἰδεῖν πολλὰ σώματα, ὧν τὰ τῆς πλευρᾶς ὀστᾶ ὑπερβάλλει ἑκκαίδεκα πήχεις.

Ἀπολλώνιος δὲ ὁ γραμματικὸς ἱστορεῖ ἐπὶ Τιβερίου Νέρωνος σεισμὸν γεγενῆσθαι, καὶ πολλὰς καὶ ὀνομαστὰς πόλεις τῆς Ἀσίας ἄρδην ἀφανισθῆναι ἃς ὕστερον ὁ Τιβέριος οἰκείᾳ δαπάνῃ πάλιν ἀνώρθωσεν, ἀνθ' ὧν κολοσσόν τε αὐτῷ κατασκευάσαντες ἀνέθεσαν παρὰ τῷ τῆς Ἀφρο-

δίτης

ϑίτης ἱερῷ, ὅς ἐστιν ἐν τῇ Ῥωμαίων ἀγορᾷ, καὶ τῶν πόλεων ἑκάστης ἐφεξῆς, ἃ διὰ τὰς περιστάσεις ἔπαθον· ἦν δὲ καὶ τῆς Σικελίας τοῦ σεισμοῦ οὐκ ὀλίγου πόλις, καὶ τὰ πλησίον Ῥηγίου· ἐσείσθη δὲ οὐκ ὀλίγα καὶ τῶν ἐν Πόντῳ ἐθνῶν· κατὰ δὴ τῆς γῆς τὰς διαστάσεις, ἐφάνη σωμάτων μεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι, κινῆσαι μὲν ὤκνησαν, δείγματος δ' ἕνεκεν, ἔπεμψαν εἰς τὴν Ῥώμην ὀδόντα ἑνὸς οὐ ποδιαῖον μόνον, ἀλλ' ὑπερβάλλοντα καὶ τοῦτο τὸ μέτρον· ἐπιδείξαντες δὲ Τιβερίῳ οἱ πρέσβεις, ἤροντο εἰ βούλεται κομισθῆναι τὸν ἥρω πρὸς αὐτόν. ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τοῦ μεγέθους ἑαυτὸν ἀποστερήσας, τό, τε ἀνόσιον τῆς νεκροσυλίας περιϊστάμενος· γεωμέτρην γάρ τινα τῶν οὐκ ἀφανῶν Πούλχρον ὀνόματι, τιμώμενον ὑπ' αὐτοῦ διὰ τὴν τέχνην καλέσας, πρόσωπον ἐκέλευσε πλάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος· ὁ δὲ σταθμησάμενος ἡλίκον ἂν γένοιτο τό, τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ, τῷ τοῦ ὀδόντος ὄγκῳ, ἐργασάμενος διὰ ταχέων, ἐκόμισε τῷ αὐτοκράτορι· κἀκεῖνος εἰπὼν ἀρκεῖσθαι τῇ θέᾳ ταύτῃ, ἀποπέμπει τὸν ὀδόντα ἐκεῖσε, ὅθεν καὶ ἐκομίσθη. Οὐ χρὴ δὲ ἀπιστεῖν τῷ εἰρημένῳ, ἐπεὶ καὶ τῆς Αἰγύπτου Λίτραι εἰσὶν τόποι, ἐν οἷς δείκνυνται σώματα οὐκ ἐλάττω τούτων, οὐ κεκρυμμένα γῇ, ἀλλ' ἐμφανῆ ἀφειμένα οὔτε

συγκέχυται, οὔτε συμπεφόρηται, ἀλλ' ἐν τάξει κεῖται, ὡς γνωρίσαι προσελθόντα, τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημῶν, καὶ τῶν ἄλλων μελῶν· Διὸ οὐ χρὴ οὐδὲ τούτοις ἀπιστεῖν ἐννοουμένους, ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα, ἅπαντα ἐγγὺς θεῶν ἐκουροτρόφει· μαραινομένου δὲ τοῦ χρόνου συμμεμάρανται καὶ τὰ μεγέθη τῶν φύσεων· καὶ τὰ ἐν τῇ Ῥόδῳ δὲ παρειλήφαμεν ὀστᾶ τηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι. Ὁ δὲ αὐτός φησιν πλησίον Ἀθηνῶν, νῆσόν τινα εἶναι· ταύτην δὲ τοὺς Ἀθηναίους βούλεσθαι τειχίσαι· σκάπτοντας οὖν τοὺς θεμελίους τῶν τοίχων εὑρεῖν σορὸν ἑκατὸν πηχῶν, ἐν ᾗ εἶναι σκελετὸν ἴσον τῇ σορῷ, ἐφ' ἧς ἐπιγέγραπται τάδε. Τέθαμμαι ὁ Μακρόσειρις ἐν νήσῳ μακρᾷ, ἔτη βιώσας πεντάκις τὰ χίλια. Εὔμαχος δέ φησιν ἐν περιηγήσει, Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχείαν, εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου, εἰκοσιτρεῖς. Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς, ἐν τῷ περὶ σεισμῶν, ἐν τῷ Κιμμερικῷ Βοσπόρῳ αἰφνιδίως σεισμοῦ γενομένου, τὸν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον, καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ

σκελετοῦ,

σκελετοῦ, πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησι τὰ ὀστᾶ τοὺς περιοικοῦντας Βαρβάρους, εἰς τὴν Μαιῶτιν ῥῖψαι λίμνην. Παιδίον πρὸς Νέρωνα ἐκομίσθη τετρακέφαλον, ἀνάλογα ἔχον καὶ τὰ ἄλλα μέλη· ἄρχοντος Ἀθήνησιν Θρασύλλου, ὑπατευόντων ἐν Ῥώμῃ Ποπλίου Πετρωνίου τοῦ Σπαλιανοῦ, καὶ Κεσεννίου Πέτου. Καὶ ἕτερον ἐγεννήθη, ἐπὶ τοῦ ἀριστεροῦ ὤμου κεφαλὴν ἐκπεφυκυῖαν ἔχον. Ἐγένετο σημεῖον παράδοξον ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησι Δεινοφίλου, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐερατίου, καὶ Γναΐου Πομπηΐου Γάλλου· Ῥαικίου γὰρ Ταύρου ἀνδρὸς στρατηγικοῦ τῆς γυναικὸς θεράπαινα τῶν τετιμημένων ἀπεκύησε πίθηκον. Κορνηλίου Γαλλικανοῦ ἡ γυνὴ παιδίον ἔτεκεν κεφαλὴν ἔχον Ἀνούβιδος ἐπὶ Ῥώμης· ἄρχοντος Ἀθήνησιν Δημοστράτου· ὑπατευόντων ἐν Ῥώμῃ Αὔλου Λουκιννίου Νέρουα Σιλανοῦ, καὶ Μάρκου Οὐεστίνου Ἀττικοῦ. γυνὴ ἀπὸ πόλεως Τριδέντου τῆς Ἰταλίας, ἀπεκύησεν ὄφεις ἐσφαιρωμένους· ὑπατευόντων ἐν Ῥώμῃ Δομετιανοῦ καίσαρος τὸ ἔνατον, καὶ Πετιλίου Ῥούφου, τὸ δεύτερον, ἐν Ἀθήναις ἀναρχίας οὔσης. Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ὑποθήκαις τῶν θυοσκόων εἰς τὸν Τίβεριν ποταμὸν ἐνεβλήθη· ἄρχοντος Ἀθήνη-

Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον, καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ. Δωρόθεος δέ φησιν ὁ ἰατρὸς ἐν ὑπομνήμασιν, ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον, κίναιδον τεκεῖν· τὸ δὲ βρέφος ταριχευθὲν, χάριν τοῦ παραδόξου φυλάττεσθαι. Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τῶν Ῥωμαίων, ὃς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. Δοῦλος τὶς στρατιώτου ἔτεκεν· ἄρχοντος Ἀθήνησιν Κόνωνος· ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐλουσίου Σατορνίνου, καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος. Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείᾳ, μίαν γυναῖκα ἐν τέτρασι τοκετοῖς εἴκοσι τεκεῖν, καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι. Καὶ ἑτέρα τὶς γυνὴ κατὰ τὴν αὐτὴν πόλιν, πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄρρενας, δύο δὲ θηλείας· οὓς Αὐτοκράτωρ Τραϊανὸς ἐκέλευσεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν, ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν. Ἱππόστρατος δέ φησιν ἐν τῷ περὶ Μίνω, Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου, πεντήκοντα υἱοὺς γεννῆσαι. Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρυόπης, πεντήκοντα θυγατέρας ἔσχεν. Κρατερὸς δέ φησιν ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφὸς, γνώσκειν τινὰ ἄνθρω-

πον

τον, ὃν ἐν ἑπτὰ ἔτεσιν παῖδα γενέσθαι, καὶ μειράκιον,
καὶ ἄνδρα, καὶ γέροντα καὶ γήμαντα, καὶ παιδοποιησά-
μενον ἀποθανεῖν. Μεγασθένης δέ φησιν τὰς
ἐν Παλαίᾳ κατοικούσας γυναῖκας ἑξαετεῖς γινο-
μένας τίκτειν. Εὑρέθη ἐν Σαύνῃ τῆς Ἀραβίας
πόλει, ἱπποκένταυρος ἐπὶ ὄρους μάλα ὑψη-
λοῦ, ὃ ἐστιν γέμον φαρμάκου θανασίμου· κα-
λεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει· ὀξύ-
τατον δὲ καὶ ἀνυτικώτατον τῶν ὀλεθρίων καθέ-
στηκεν· τὸν δὲ ἱπποκένταυρον συλλαβὼν ὁ βα-
σιλεὺς ζῶον, ἀπέπεμψε σὺν ἑτέροις δώροις πρὸς
καίσαρα ἐς τὴν Αἴγυπτον· τροφὴ δὲ ἦν αὐτοῦ,
κρέα· οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος,
τελευτᾷ· καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταρι-
χεύσας, ἀπέστειλεν εἰς Ῥώμην· καὶ πρῶτον ἐν
τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον
ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων· χεῖρας δὲ καὶ τοὺς
τούτων δακτύλους τετειχωμένους· πλευρὰ δὲ
συναφῆ τοῖς προτέροις σκέλεσι καὶ τῇ γαστρί·
ὁπλαὶ δὲ ἦσαν αὐτῷ ἵππου στερεαὶ, καὶ ἐπίξανθοι
χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμε-
λαινόμεναι τῷ δέρματι· μέγεθος δὲ ἦν οὐχ οἷοί-
περ οἱ γραφόμενοι, οὐδ' αὖ πάλιν μικρόν. Ἐν
δὲ τῇ προειρημένῃ πόλει Σαύνῃ ἐλέγοντο καὶ ἕτε-
ροι εἶναι ἱπποκένταυροι· τὸν δὲ πεμφθέντα εἰς
Ῥώμην εἴ τις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται

Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον, καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ. Δωρόθεος δὲ φησὶν ὁ ἰατρὸς ἐν ὑπομνήμασιν, ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον, κίναιδον τεκεῖν· τὸ δὲ βρέφος ταριχευθὲν, χάριν τοῦ παραδόξου φυλάττεσθαι. Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τῶν Ῥωμαίων, ὃς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. Δοῦλος τε στρατιώτου ἔτεκεν· ἄρχοντος Ἀθήνησιν Κόνωνος· ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐλουσίου Σατορνίνου, καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος. Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείᾳ, μίαν γυναῖκα ἐν τέτρασι τοκετοῖς εἴκοσι τεκεῖν, καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι. Καὶ ἑτέρα τὶς γυνὴ κατὰ τὴν αὐτὴν πόλιν, πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄρρενας, δύο δὲ θηλείας· οὓς Αὐτοκράτωρ Τραϊανὸς ἐκέλευσεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν, ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν. Ἱππόστρατος δέ φησιν ἐν τῷ περὶ Μίνω, Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου, πεντήκοντα υἱοὺς γεννῆσαι. Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρυόπης, πεντήκοντα θυγατέρας ἔσχεν. Κρατερὸς δέ φησιν ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφὸς, γινώσκειν τινὰ ἄνθρω-

πον

τον, ὃν ἐν ἑπτὰ ἔτεσιν παῖδα γενέσθαι, καὶ μειράκιον, καὶ ἄνδρα, καὶ γέροντα καὶ γήμαντα, καὶ παιδοποιησάμενον ἀποθανεῖν. Μεγασθένης δέ φησιν τὰς ἐν Παλαιᾷ κατοικούσας γυναῖκας ἑξαετεῖς γινομένας τίκτειν. Εὑρέθη ἐν Σαύνῃ τῆς Ἀραβίας πόλει, ἱπποκένταυρος ἐπὶ ὄρους μάλα ὑψηλοῦ, ὃ ἐστὶν γέμον φαρμάκου θανασίμου· καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει· ὀξύτατον δὲ καὶ ἀνυτικώτατον τῶν ὀλεθρίων καθέστηκεν· τὸν δὲ ἱπποκένταυρον συλλαβὼν ὁ βασιλεὺς ζῶον, ἀπέπεμψε σὺν ἑτέροις δώροις πρὸς καίσαρα ἐς τὴν Αἴγυπτον· τροφὴ δὲ ἦν αὐτοῦ, κρέα· οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος, τελευτᾷ· καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταριχεύσας, ἀπέστειλεν εἰς Ῥώμην· καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων· χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετειχωμένους· πλευρὰ δὲ συναφῆ τοῖς πρώτοις σκέλεσι καὶ τῇ γαστρί· ὁπλαὶ δὲ ἦσαν αὐτῷ ἵππου στερεαί, καὶ ἐπίξανθοι χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμελαινόμεναι τῷ δέρματι· μέγεθος δὲ ἦν οὐχ οἷοίπερ οἱ γραφόμενοι, οὐδ᾽ αὖ πάλιν μικρόν. Ἐν δὲ τῇ προειρημένῃ πόλει Σαύνῃ ἐλέγοντο καὶ ἕτεροι εἶναι ἱπποκένταυροι· τὸν δὲ πεμφθέντα εἰς Ῥώμην εἴ τις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται

γὰρ ἐν τοῖς θείοις τοῦ αὐτοκράτορος. τεταριχευμένος, ὡς προεῖπον. ¶ ΠΕΡΙ ΤΩΝ ἙΚΑΤΟΝ ἜΤΗ ΖΗΣΑΝΤΩΝ.]

Οἱ ἑκατὸν ἔτη ζήσαντες Ἰταλῶν, ὡς ἐξ αὐτῶν τῶν ἀποτιμήσεων ἀναζητήσαντες οὐ παρέργως ἐμάθομεν. Λούκιος Κορνήλιος, Κορνίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Γλαύκιος Οὖηρος, Λούκιος πόλεως Πλακεντίας. Λούκιος Οὐετούστιος Σεκοῦνδος, Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Λικίννιος Γάλλος, Λουκίου ἀπελεύθερος, πόλεως Πλακεντίας. Λούκιος Ἀκίλλιος Μάρκελλος, Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Οὐέττιος, Μάρκου υἱὸς, Βριξέλλων. Λούκιος Κουαστώννιος, Λουκίου υἱὸς, πόλεως Κορνηλίας. Λούκιος Γαμίνιος, Λουκίου υἱὸς, πόλεος Βελέιας. Γάϊος Πορτήσιος Φρόντων, Σέξτου υἱὸς, πόλεως Βονωνίας· Γάϊος Νώνιος Μάξιμος, Ποπλίου υἱὸς, πόλεως Βριξέλλων. Γάϊος Ἀμούριος Τέρωνς, Γαΐου υἱὸς, πόλεως Κορνηλίας· Γάϊος Κασσπούδης, Τιτίου υἱὸς, πόλεως Πάρμης. Γάϊος Οὐάτιος Τόρπος, Σπορίου υἱὸς, πόλεως Πλακεντίας. Γάϊος Ἰούλιος Πόθος, πόλεως Ῥαβέννης. Γάοϊς Οὐαλβόριος Πρίμος, Κοΐντου υἱὸς, πόλεως Βελέιας· Καισιλίας Κῦρος, πόλεως Πλακεντίας. Κατία Γαΐου θυγάτηρ, πόλεως Φαουεντίας.

πίας. Γόπλιος Φούλβιος Φρὺξ, Λουκίου ἀπελεύθερος, πόλεως Γολλισίας· Γόπλιος Νέβιος, Λουκίου ὑὸς, πόλεως βασιλείας· Γόπλιος Δεκίμιος Δημοσθένης, Γοπλίου ἀπελεύθερος, πόλεως Ἀειμήνου. Πετρωνία Κοΐντου, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας· Πόλλα Γῶλλα Σπονείου θυγάτηρ, πόλεως Αἰτωσίας. Μάρκος Οὐϊλγόνιος Σεβῆρος, πόλεως Οὐελείας· Μάρκος Τορέντιος Ἄλβιος, Μάρκου ἀπελεύθερος, πόλεως Πλακεντίας. Μάρκος Ἀντώνιος, Λουκίου ὑὸς, πόλεως Πλακεντίας. Μάρκος Τάλπιος Οὐϊταλὶς, Μάρκου ὑὸς, πόλεως Γλακεντίας. Μάρκος Ἀκκέλιος, Μάρκου ὑὸς, πόλεως Βονωνίας. Μάρκος Νιρέλλιος, Γαίου ὑὸς, πόλεως Πάρμης. Τίτος Οὐίβιος Θάλβιος, Σοιβίου ὑὸς, πόλεως Γάρμης. Τίτος Αἰμίλιος, Κοΐντου ὑὸς, πόλεως Ῥηγίας. Τίτος Οὐετεράνιος, Ποπλίου ὑὸς, πόλεως Βονωνίας. Τίτος Νουμέριος, Τίτου ὑὸς, πόλεως Γλακεντίας. Τίτος Σερούϊος Σέκουνδος, Τίτου ὑὸς, πόλεως Βονωνίας· Τήτος Πετρώνιος, Γοβίου ὑὸς, πόλεως Πλακεντίας. Τίτος Αὐτώνιος, Μάρκου ὑὸς, πόλεως Ῥηγίου. Τίτος Ἐρούσιος Γολλίων, Γαΐου ὑὸς, πόλεως Βονωνίας. Τίτος Καμόριος Τόρπιος, Τίτου ὑὸς, πόλεως Φαβεντίας. Τουρελληφόρκσις Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας.

νωνίας. Κοΐντος Καλάσιος Ῥοῦφος, Κοΐντου υἱός, πόλεως Ῥηγίου. Κοΐντος Λουκρίτιος πρίμος, Κοΐντου υἱός, πόλεως Ῥηγίου. Κοΐντος Οὐέλιος Ποπλίου υἱός, πόλεως Βελίας. Ἀντωνία Σεκουνδα, Ποπλίου θυγάτηρ, πόλεως Βελίας. Ἀλβατία Σαβῖνα, πόλεως Παρμης. Σαλουΐα Οὐάρουα Ποπλίου θυγάτηρ, πόλεως Βασιλείας. Βεβία Μαρκέλλα Σέξτου θυγάτηρ, πόλεως Ὀρτισίας. Βασκία Ἀστικόσου Μακεδὼν, ἀπὸ Φιλίππων. Βουζηστόνου παροίκου Πόλτης, Μακεδών. Φρό.Ἴων Ἀλβουτίου Μακεδὼν ἀπὸ Φιλίππων. Σαρκης Κιλαμακέτης Ἀμφιπολῖτις. Αἰδέσιος Δίζα παροικοπόλεως, Μακεδών. Βίθυσδιζάσου παροικοπόλεως, τῶν Μακεδόνων. Ζακεδένθης Μουκάσου παροικοπολίτης Μακεδών. Μάρτις καὶ περίζου Μακεδών, ἐξ Ἀμφιπόλεως. Ἀλέξανδρος Δημητρίου Τιανός, ἀπὸ πόντου, ἐκ Βιθυνίας. Γάζα Τίμωνος Τιανή, ἀπὸ πόντου, καὶ Βιθυνίας. Χρῆστη Ἀντιπάτρου Τιανή. Χρυσίον Θεοφίλου Τιανή. Ἱέρων Ἱέρωνος Τιανός. Μούζακος Μουκαντίου Νικομηδεὺς Βιθυνίας. Λούκιος Φιδικλάνιος Νέπως, Σινωπεύς. Ἀλούκιος Ἀπλιούτας, ἀπὸ Λυσιτανίας πόλεως Ἰντεραννησίας. Ἄμβατος Δοκουρίου υἱός, τῆς αὐτῆς πόλεως. Καμαλος, Καντολγουνίου υἱός, τῆς αὐτῆς πόλεως. Κέλτιος Πιλλίου υἱός, πόλεως Ἀπειλοκαρίου.

καείου. Ἀῤῥουώτιος Ἀππίου υἱὸς, πόλεως Κονιμβριγησίας. Τάμφιλος Κελπίου υἱὸς πόλεως τῆς αὐτῆς. Δοκκούειος Ἀλουκκίου υἱὸς, πόλεως Αἰβουροβισυγγησίας. ¶ ΟΙ ΑΠΟ ΕΚΑΤΟΝ ΤΕΣΣΑΡΩΝ ΕΤΩΝ, ΜΕΧΡΙ ΕΚΑΤΟΝ ΔΕΚΑ ΑΠΟΓΡΑΨΑΜΕΝΟΙ. Γάϊος Ἀνλήδιος πρίμος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κλωδία Ποτέσα, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κουσινία Μόσχος Γαΐου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν· Κορεωνία Οὐεξνηθουώδα, Ποπλίου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Λουΐα Ἀπλική, Ποπλίου ἀπελευθέρα, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Βουεία Λυχναυνὶς, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Γάϊος Σχάμφλος, Γαΐου υἱὸς, πόλεως Βελείας, ἔτη ἑκατὸν δύο. Κούϊντος Κορνήλιος, Κουΐντου υἱὸς, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δύο. Τίτος Ἀντώνιος, Τίτου υἱὸς, πόλεως Πάρμης, ἔτη ἑκατὸν δύο. Κοκκανία Μοῦσα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν τρία. Δημόκριτος Ἀβδηρείτης, ἔτη ἑκατὸν τέσσαρα. ἐτελεύτησεν δὲ τροφῆς ἀποσχόμενος. Κτησίβιος ὁ ἱστοριογράφος, ἔτη ἑκατὸν τέσσαρα· ἐν Περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς δεδήλωκεν. Ἱερώνυμος ὁ συγγραφεὺς

φοὺς πολλοὺς μετὰ χρόνους ἐν ταῖς στρατείαις ἀναπλήσας· πλείστοις δὲ τραύμασιν ἐν πολέμοις περιπεσὼν, ἐτελεύτησεν, βιώσας ἔτη ἑκατὸν τέσσαρα, ὥς φησιν Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν. Γάϊος Λαλλίας Τιωναῖνος, Λουκίου υἱὸς, πόλεως Βιωνίας, ἔτη ἑκατὸν πέντε. Πόπλιος Χουϊσέντιος Σφυρίων Ποπλίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν πέντε. Τίτος Κοπίνας Χρύσαντος, Τίτου ἀπελεύθερος, πόλεως Φαουεντίας, ἔτη ἑκατὸν πέντε. Μάρκος Πομπώνιος Σεβῆρος, Μάρκου υἱὸς, πόλεως Τανυκτούνης, ἔτη ἑκατὸν πέντε. Σέξτος Νέβιος Σέξτου υἱὸς, πόλεως Παρμίας, ἔτη ἑκατὸν πέντε. Λούκιος Αἴλιος Δωρόθεος, Λουκίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕξ. Γάϊος Πομπούσιος Μουπανὸς, Ποπλίου υἱὸς, ἔτη ἑκατὸν ἑπτά. Πόλλα Δωνάτα Σέξτου θυγάτηρ, πόλεως Βονωνίας, ἔτη ἑκατὸν δέκα· Μουναντία Προκοῦλα, Λουκίου θυγάτηρ, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δέκα. ¶ ΟΙ ἈΠῸ ΤΩ͂Ν ἙΚΑΤῸΝ ΔΈΚΑ ἘΤΩ͂Ν ΜΈΧΡΙ ἙΚΑΤῸΝ ἘΊΚΟΣΙ ἈΠΟΓΡΑΨΆΜΕΝΟΙ.] Τίτος Περέννιος Τοῦτος, Λουκίου υἱὸς, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕνδεκα. Λούκιος Αντίστιχος Σωτήριχος, Λουκίου ἀπελεύθερος, πόλεως

λέως Ῥαβέννης, ἔτη ἑκατὸν δέκα τρία. Λούκιος Πέτρου, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν δέκα τέσσαρα. Ἰουλία Μοδεστίνα, πόλεως Κορσιόλων, Γειμοπλαείου ἀπελευθέρα, καθ' ἡμᾶς ἔτι οὖσα, πόλεως Βριξέλλων, ἔτη ἑκατὸν εἴκοσι.

¶ ΟΙ ΑΠΟ ΡΛ' ΕΤΩΝ, ΜΕΧΡΙ ΡΜ' ΑΠΟΓΡΑΨΑΜΕΝΟΙ. Λούκιος Τόρτιος, πόλεως Μονωνίας ἔτη ρλέ. Φαῦστος καίσαρος δοῦλος ἐκ Σαβίνων, ἀπὸ πραιτωρείου Γαλλανπανοῦ, ἔτη ρλς', ὃν καὶ αὐτὸς ἐθεασάμην, Ἀδριανῷ τῷ καίσαρι ἐπιδειχθέντα. Ἀργανθώνιος ὁ τῶν Ταρτησίων βασιλεύς, ὥς ἱστορεῖ Ἡρόδοτος. © Ἀνακρέων ὁ ποιητής, ἔτη ρν'. Σίβυλλα, ἡ Ἐρυθραία, ἐβίωσεν ἔτη ὀλίγον ἀποδέοντα τῶν χιλίων, ὡς αὐτή φησιν ἐν τοῖς χρησμοῖς τόν δὲ τὸν τρόπον·

Ἀλλὰ τί δὴ πανόδυρτος ἐπ' ἀλλοτρίοισι
πάθεσσι
Θέσφατα φοιβάζω, λυσσώδεα μοῖραν ἔχουσα,
Οἴστρου δὲ σφετέρου καταγεύομαι ἀλγινόεντος·
Ἐννεάομαι* ἀεὶ χαλεπὸν κατὰ γῆρας ἔχουσα, *ἐκ νιαρῶν legi.
Μαινομένη μὲν ἐνὶ θνητοῖς, καὶ ἄπιστα λέγουσα,
Πάντα δ' ὑπὲρ προϊδοῦσα βροτῶν δυσανάσχετα κήδη,

Καὶ

Καὶ τότε μοι φθονέσας Λητοῦς ἐρικυδέος
υἱός,
Μαντοσύνης παθέων δὲ κατοικτίσας ὀλοὸν
κῆρ,
Ψυχὴν ἐκλύσει δεσμευομένην ἐνὶ λυγρῷ.
* Σώματι σαρκοτύπῳ δ' ὀϊστεύσας γεγάιον.
Ἔνθ' ἄρα μοι ψυχὴ μὲν ἐς ἠέρα πτηθεῖσα,
Πνεύματι συγκραθεῖσα βροτῶν εἰς ὄατα
πέμψει
Κληδόνας ἐν πυκινοῖς αἰνίγμασι συμπλεχ-
θείσας,
Σῶμα δ' ἀεικελίως ἄταφον πρὸς μητέ-
ρος αἴης,
Κείσεται οὐ γάρ τις θνητῶν ὧδε γαίαις
ἀμήσει,
Οὐδὲ τάφῳ κρύψει, κατὰ γὰρ χθονὸς εὐ-
ρυοδείης
Δύσεται αἷμα μέλαν τερσαινομένοιο
χρόνοιο.
Ἔνθεν δὴ πολλῆς ἀναδύσεται ἔρνεα ποίης,
Ἣ κατὰ βοσκομένοις μήλοις εἰς ἧπατα
δῦσα,
Ἀθανάτοις δείξει βουλεύματα μαντο-
σύνῃσι,
Σαρκῶν δ' ὄρνιθες πτεροδέμονες αἴκα πά-
σωνται,

Μαντο-

Μαντοσύνην θνητοῖσιν ἀληθέα ποιπνύουσα.

Διὰ τούτου τοῦ χρησμοῦ ἀποδείκνυται δέκα γενεὰς αὐτὴν κατ' ἀνθρώπους γεγονέναι, καὶ μετὰ τὴν ἀναχώρησιν τὴν ἐκ τοῦ ζῆν, τῆς μὲν ψυχῆς κατὰ τὸν ἀέρα φορουμένης, καὶ προσπιπτούσης τοὺς ὑπὸ τῶν ἀνθρώπων λαλουμένους παρασκευάσειν, τὰς γινομένας κληδόνας διὰ τῶν λόγων· τοῦ δὲ σώματος ἀτάφου γινομένου, τὰ μὲν ὄρνεα τῶν σαρκῶν φαγόντα, τὴν δὲ τῆς ὀρνιθοσκοπίας μαντείαν διασημαίνειν· τοῦ δὲ ἀπολοίπου μέρους εἰς τὴν γῆν σαπέντος, καὶ τὰ κτήνη φαγόντα τῆς ἐκ τῆς γῆς φυομένης πόας, τὴν ἡπατοσκοπικὴν εἰς τὸν βίον εἰσάξειν τέχνην. Τὴν δὲ γενεὰν Σίβυλλα ἱστορεῖ ἐτῶν ἑκατὸν δέκα, ἐν τῷδε χρησμῷ τῷδε πρὸς Ῥωμαίους περὶ τῶν αἰωνίων θεῶν, ἃ Ῥωμαῖοι Σεκουλάρεια καλοῦσι. Τῶν γὰρ συμμάχων αὐτῶν καὶ κοινωνῶν μὴ ἐμμενόντων ταῖς συνθήκαις, ἀλλὰ πυκνὰ μεταβαλλομένων καὶ πολεμούντων αὐτοῖς, ἡ Σίβυλλα ἐχρησμῴδησεν, ἐπιτελεσθεισῶν τῶν θεωριῶν τούτων, ὑποταγήσεσθαι τοὺς ἀφεστῶτας Λατίνους· εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

Ἀλλ' ὁπότ' ἂν μήκιστος ἵκῃ χρόνος ἀνθρώποισι,

Ζωῆς

Ζωῆς εἰς ἐτέων ἑκατὸν δέκα κύκλον ὁδεύσας,
Μεμνῆσθαι Ῥωμαῖε, καὶ εἰ μάλα λήσει ἑαυτοῦ,
Μεμνῆσθαι τάδε πάντα, θεοῖσι μὲν ἀθανάτοισι,
Ῥέζειν ἐν πεδίῳ παρὰ Θύβριδος ἄπλετον ὕδωρ,
Ὅππῃ στεινότατον, νὺξ ἡνίκα γαῖαν ἐπέλθῃ,
Ηελίου κρύψαντος ἑὸν φάος, ἔνθα σὺ ῥέζειν,
Ἱερὰ παντογόνοις μοίραις ἄρνας τε καὶ αἶγας,
Κυανέας δ' ἐπὶ ταῖς δ' εἰληθυίας ἀρέσασθαι,
Παιδοτόκους θυέεσιν ὅπῃ θέμις, αὖθι δὲ γαίῃ
Πληθομένῃ χοίροις. οἷς ἱρεύοιτο μέλαινα
Πάλλευκοι ταῦροι δὲ Διὸς παρὰ βωμὸν ἀγέσθων,
Ἤματι, μὴ δέ τε νυκτὶ, θεοῖσι γὰρ οὐρανίδῃσιν
Ἡμέριος τέλεται θυέων τρόπος, ὡς δὲ καὶ αὐτοῖς
Ἱερεύειν, δάμαλις δὲ βοὸς δέμας ἀγλαὸν Ἥρης
Δεξάσθω νηὸς παρὰ σοῦ, καὶ Φοῖβος Ἀπόλλων,

Ὅστε

Ὥστε καὶ ἥλιος κικλήσκεται, αἴσια δέχθω
Θύματα, Λητοΐδης καὶ ἀφθόμενοί τε Λατῖνοι
Παιᾶνος, κοῦροις κούρῃσί τε νηὸν ἔχοιεν
Ἀθανάτων, χωρὶς δὲ κόραι χορὸν αὐταὶ ἔχοιεν,
Καὶ χωρὶς παίδων ἄρσην στάχυς, ἀλλὰ γονήων
Πάντων ζωόντων τοῖς ἀμφιθαλὴς ἔτι φύτλη,
Αἱ δὲ γάμου ζεύγλαισι δεδμημέναι ἤματι κείνῳ,
Γνὺξ Ἥρης παρὰ βωμὸν ἀοίδιμον ἑδριόωσαι,
Δαίμονα λισσέσθωσαν, ἅπασι δὲ λύματα δοῦναι
Ἀνδράσιν ἠδὲ γυναιξὶ, μάλιστα δὲ θηλυτέραισιν,
Πάντες δ' ἐξ οἴκοιο φερέσθων, ὅσσα κομίζειν
Ἔστι θέμις θνητοῖσιν ἀπαρχομένοις βιότοιο,
Δαίμοσι μειλιχίοισιν ἱλάσματα καὶ μακάρεσσιν
Οὐρανίοις, τὰ δὲ πάντα τεθησαυρισμένα κεῖσθαι,
Ὄφρα τε λῇ θυμέλῃσι καὶ ἀνδράσιν ἑδριοώσαις.
Ἔνθεν πορσύνῃς μεμνημένος ἤμασι δ' ἔστω,

Νυξί τ' ἐπασσυτέραισι θεοπρεπίους κατὰ θώκους,
Παμπλήθης ἄγυιες· σπουδὴ δὲ γέλωτι μεμίχθω.
Ταῦτά τοι ἐν φρεσὶ σῇσιν ἀεὶ μεμνημένος εἶναι
Καί σοι πᾶσα χθὼν Ἰταλὴ, καὶ πᾶσα Λατίνων,
Αἰὲν ὑπὸ σκήπτροισιν ὑπαυχένιον ζυγὸν ἕξει.

Τέλος περὶ Θαυμασίων καὶ
Μακροβίων, &c.

ΦΛΕΓΟΝΤΟΣ ἈΠΕλευθέρου Ἀδριανοῦ καίσαρος περὶ τῶν Ὀλυμπίων.

ΔΟκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. Ἔστι δὲ ἥδε. Μετὰ Πεῖσον καὶ Πέλοπα, ἔπειτα δὲ Ἡρακλέα τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τῶν Ὀλυμπιάσιν ἐνστησαμένους, ἐκλιπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινί, εἰς ὃν ἀπὸ Ἰφίτου ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν Ἠλεῖον, καὶ ἀμελησάντων τοῦ ἀγῶνος, στάσις ἐνέστη κατὰ τὴν Πελοπόννησον. Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτανέως, τοῦ Εὐρόπου, τοῦ Σόου, τοῦ Προκλέους, τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου, τοῦ Κλαιοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους, καὶ Δηιανείρας, καὶ Ἴφιτος ὁ Αἵμονος, ὡς δὲ ἔνιοι Πραξωνίδου ἑνὸς τῶν ἀπὸ Ἡρακλέους Ἠλεῖος. καὶ Κλεοσθένης ὁ Κλεονίκου Πισάτης βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τὴν Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα, καὶ ἀγῶνα γυμνικὸν ἐπιτελεῖν. στέλλονται

δὴ εἰς Δελφοὺς χρησόμενοι τῷ θεῷ, εἰ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεὸς, ἄμεινον, ἔφη, ἔσεσθαι ποιοῦσιν. καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν, ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος. ὧν περιαγγελθέντων κατὰ τὴν Ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς Ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ ὀλύμπια ἄγειν. Οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν τε Πελοποννησίων, λοιμὸς ἐπιγενόμενος, καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτούς. οἱ δὲ ἀποστάντες πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ἠτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασιν τινά. ἡ δὲ Πυθία χρᾷ τάδε.

Ὦ γῆς ἀκρόπολιν πάσης Πελοπηΐδα κλεινὴν
Ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι
Φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ ὅττι κεν εἴπω.
Ζεὺς ἡμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
Οὕνεκ' ἀτιμάζοντες ὀλύμπια λᾶσι ἄνακτος
Ζηνὸς· τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ ὅτε δημονναῖαν

Ἑλλάδα,

Ἑλλάδα, θῆκε δ' ἔπειτα ἑορτὴν καὶ ἔπαθλα
θανόντι
Οἰνομάῳ. τρίτατος δ' ἐπὶ τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλῆς ἐτέλεσσ' ἑορτὴν καὶ ἀγῶν' ἐπὶ μήτρῳ
Πέλοπι Ταντάλίδῃ φθιμένῳ· τὸν δή ποθεν ὑμεῖς
Λείπετε καὶ τελετὴν ἧς χωσάμενος κατὰ θυμὸν,
Ὦρσε κακὴν λιμὸν παρὰ τοῖς καὶ λοιμόν, ὃν ἐστι
Παῦσαι, ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

Ταῦτα ἀκούσαντες, ἀπήγγειλαν τοῖς Πελοποννησίοις· οἱ δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀπὸ κοινοῦ δόγματος ἐπιστρεφέστερον ἐπερωτήσοντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

Ὦ Πελοποννήσου ναέται περὶ βωμὸν ἰόντες,
Θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι πατέρων νόμον ἰθύνοντες.

τούτων χρησθέντων, οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων, καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσιν· καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν

Λακεδαιμονίοις, ὅτε Ἕλος ἐπολιόρκουν πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο· καὶ χρᾷ ἡ Πυθία τάδε·

Τὴν αὐτῶν ῥύεσθε πάτραν πολέμου δ' ἀπέχεσθε,
Κοινοδίκου φιλίας ἡγούμενοι Ἑλλήνεσσιν
Ἔς τ' ἂν πεντάετης ἔλθῃ φιλόφρων ἐνιαυτὸς.

Χρησθέντων δὲ τούτων, τοῦ μὲν πολεμεῖν ἀνέσχοντο, τὴν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. καὶ ἐστέφετο μὲν οὐδεὶς ἐπὶ πέντε Ὀλυμπιάδας. τῇ δὲ ἕκτῃ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰ στέμματα περιθῶσι τοῖς νικῶσι. καὶ πέμπουσι τὸν βασιλέα Ἴφιτον εἰς θεοῦ, ὁ δὲ θεὸς ἔφη τάδε·

Ἴφιτε μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
Ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἐλαιῶν
Ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφάσμασ' ἀράχνης.

Παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν πολλῶν ἐν τῷ τεμένει κοτίνων ὄντων εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις, περιῳκοδόμησεν αὐτόν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Δαϊκλῆς Μεσσήνιος τῇ ἑβδόμῃ Ὀλυμπιάδι, στάδιον ἐνίκα.

ΑΠΟΛ-

ΑΠΟΛΛΩΝΙΟΥ

ἱστορίαι θαυμάσιαι.

Βώλου Ἐπιμενίδης ὁ κρὴς λέγε- α'
ται ὑπὸ τοῦ πατρὸς καὶ τῶν ἀ-
δελφῶν τοῦ πατρὸς ἀποσταλεὶς
εἰς ἀγρὸν πρόβατον ἀγαγεῖν εἰς
τὴν πόλιν, καταλαβούσης αὐ-
τὸν νυκτὸς παραλλάξαι τῆς τρίβου. καὶ κατακοιμη-
θῆναι ἔτη ἑπτὰ καὶ πεντήκοντα, καθάπερ ἄλλοι τε
πολλοὶ εἰρήκασιν, ἔτι καὶ Θεόπομπος ἐν ταῖς ἱστο-
ρίαις, ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια. Ἔπει-
τα συμβῆναι ἐν τῷ μεταξὺ χρόνῳ τοὺς μὲν οἰκείους
τοῦ Ἐπιμενίδου ἀποθανεῖν. αὐτὸν δὲ ἐγερθέντα ἐκ τοῦ
ὕπνου, ζητεῖν ἐφ᾽ ὃ ἀπεστάλη πρόβατον. μὴ εὑρόν-
τα δὲ, πορεύεσθαι εἰς τὸν ἀγρόν. ὑπελάμβανε δὲ ἐγη-
γέρθαι τῇ αὐτῇ ἡμέρᾳ, ᾗπερ ἔδοξεν κεκοιμῆσθαι.
καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον, καὶ τὴν
σκευὴν ἠλλαγμένην ἀπῄει εἰς τὴν πόλιν. καὶ εἰ-
σελθὼν εἰς τὴν οἰκίαν ἐκεῖθεν πάντα ἔγνω, ἐν οἷς
καὶ τὰ περὶ τοῦ χρόνου, καθ᾽ ὃν ἀφανὴς ἐγένετο.
λέγουσι δὲ οἱ Κρῆτες, ὥς φησιν Θεόπομπος, ἔτη βιώ-
σαντα αὐτὸν ἑκατὸν πεντήκοντα ἀποθανεῖν. λέ-
γεται δὲ περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἄλλα οὐκ
ὀλίγα παράδοξα. Ἀριστέαν δὲ ἱστορεῖται β'
τὸν Προικοννήσιον, ἔν τινι γναφείῳ τοῦ Προικοννήσου

τελευτήσαντα ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι γράμματα διδάσκοντα, ὅθεν πολλάκις αὐτῷ τοῦ τοιούτου συμβαίνοντος, καὶ περιφανοῦς γινομένου διὰ πολλῶν ἐτῶν, καὶ πυκνότερον ἐν τῇ Σικελίᾳ φανταζομένου, οἱ Σικελοὶ ἱερόν τε καθιδρύσαντο αὐτῷ, καὶ ἔθυσαν ὡς ἥρωϊ.

γ' Περὶ δὲ Ἑρμοτίμου τοῦ Κλαζομενίου τοιαῦτά τινα μυθολογεῖται. φασὶν γὰρ αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος πλαζομένην, ἀποδημεῖν ἐπὶ πολλὰ ἔτη, καὶ κατὰ τόπους γινομένην, προλέγειν τὰ μέλλοντα ἀποβήσεσθαι, οἷον ὄμβρους μεγάλους καὶ ἀνομβρείας, ἔτι δὲ σεισμούς τε καὶ λοιμούς, καὶ τὰ παραπλήσια, τοῦ σωματίου κειμένου. τὴν δὲ ψυχὴν καθάπερ εἰς ἔλυτρον διὰ χρόνων τινῶν εἰσερχομένην, διεγείρειν τὸ σῶμα. Τοῦτο δὲ αὐτοῦ πολλάκις ποιοῦντος, καὶ τῆς γυναικὸς ἐντολὰς ὑπ' αὐτοῦ ἐχούσης, ὅτε μέλλοι χωρίζεσθαι, μηδένα θίγειν τοῦ σωματίου, μηδέ τινα τῶν πολιτῶν, μηδ' ἄλλον ἀνθρώπων εἰσελθόντες τινὲς εἰς τὴν οἰκίαν, καὶ ἐκλιπαρήσαντες τὸ γύναιον ἐθεώρησαν χαμαὶ κείμενον γυμνὸν τὸν Ἑρμότιμον ἀκίνητον. οἱ δὲ πῦρ λαβόντες κατέκαυσαν αὐτόν, οἰόμενοι τῆς ψυχῆς παραγενομένης, καὶ μηκέτι ἐχούσης ὅπου εἰσδύσεται, παντελῶς στερήσεσθαι τοῦ ζῆν, ὅπερ καὶ συνέπεσεν.

πεσεν. Τὸν δὲ οὖν Ἑρμότιμον Κλαζομένιοι τι-
μῶσι μέχρι τοῦ νῦν, καὶ ἱερὸν αὐτοῦ καθίδρυται,
εἰς ὃ γυνὴ οὐκ εἰσέρχεται, διὰ τὴν προειρημένην
αἰτίαν. Ἄβαρις δὲ ἐξ ὑπερβορέων ἦν μὲν δ'
καὶ αὐτὸς τῶν θεολόγων· ἔγραφε δὲ καὶ χρησ-
μοὺς ταῖς χώραις περιερχόμενος, οἵ εἰσιν μέ-
χρι τοῦ νῦν ὑπάρχοντες. προέλεγεν δὲ καὶ οὗτος
σεισμοὺς, καὶ λοιμοὺς καὶ τὰ παραπλήσια,
καὶ τὰ γιγνόμενα κατ' οὐρανόν. λέγεται δὲ
τοῦτον εἰς Λακεδαίμονα παραγενόμενον, εἰρηκέναι
τοῖς Λάκωσι κωλυτήρια θῦσαι τοῖς θεοῖς, καὶ ἐκ
τούτου ὕστερον ἐν Λακεδαίμονι λοιμὸς οὐκ ἐγέ-
νετο. Τὰ δὲ περὶ Φερεκύδην τοσαῦτά τι- ε'
να ἱστορεῖται. Ἐν Σκύρῳ ποτὲ τῇ νήσῳ διψῶντα,
ὑδάτιον αἰτῆσαι παρά τινος τῶν γνωρίμων· τὸν
δὲ πιόντα εἰπεῖν σεισμὸν ἐσόμενον ἐν τῇ νήσῳ με-
τὰ τρίτην ἡμέραν· τούτου δὲ συμβάντος, μεγά-
λην δόξαν αὐτὸν ἀπενέγκασθαι. πάλιν δὲ εἰς Σά-
μον πορευόμενος εἰς τὸ τῆς Ἥρας ἱερὸν, ἰδεῖν
πλοῖον εἰς τὸν λιμένα καταγόμενον, καὶ εἰπεῖν
τοῖς συνεστῶσιν, ὡς οὐκ εἰσελεύσεται ἐντὸς τοῦ λι-
μένος. ἔτι δὲ λέγοντος αὐτοῦ καταῤῥαγῆναι
γνόφον, καὶ τέλος ἀφανισθῆναι τὴν ναῦν.
Τούτοις δὲ ἐπιγενόμενος Πυθαγόρας Μνη- ς'
σάρχου υἱὸς, τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ
μαθήματα, καὶ τοὺς ἀριθμούς· ὕστερον δέ ποτε

καὶ τῆς Φερεκύδου τερατοποιίας οὐκ ἀπέστη. καὶ γὰρ τῷ Ποντίου πλοίῳ εἰσερχομένῳ φορτίον ἔχοντι, καὶ τῶν παρατυχόντων εὐχομένων σωςὸν ἐλθεῖν, κατελθεῖν διὰ τὸν φόρτον, ἑστῶτα τοῦτον εἰπεῖν· νεκρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο· πάλιν δ' ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης, γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει, καὶ τὴν ἐν Τυρρηνίᾳ φησὶ τὸν δάκνοντα θανάσιμον ὄφιν, αὐτὸς δάκνων, ἀπέκτεινεν. καὶ τὴν γινομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν. διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν, ὑπὸ μηδενὸς θεωρηθεὶς καὶ ὑπὸ τοῦ κατὰ Σάμον ποταμοῦ διαβαίνων σὺν ἄλλοις, ἤκουσε φωνὴν μεγάλην ὑπὲρ ἄνθρωπον· Πυθαγόρα χαῖρε. τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι. ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι, καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ. ἐν θεάτρῳ δὲ καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφαινε τοῖς καθημένοις εἰς χρυσοῦν. λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα. Ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν, αὐτοῦ τὸν λόγον
ζʹ καταπαύσομεν. Ἀριστοτέλης δ' ἐν τοῖς φυσικοῖς προβλήμασιν τοὺς περὶ τὴν φυτείαν τῆς κριθῆς γινομένους, χλωρότερα ἴσχειν καὶ τὰ σώματα μᾶλλον, ἢ περὶ τὸν πυρὸν καταχολουμένους.

μένους. Ἄνδρων ἐν τῇ δ', τῶν πρὸς Φί- η'
λιππον θυσιῶν κορώνη ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀ-
κρόπολιν οὐδεμία ἑώραται εἰσερχομένη. κα-
θάπερ οὐδὲ ἐν Πάφῳ περὶ τὰ θυρώματα τὰ
τῆς ἀφροδίτης μυῖα ἐφισταμένη. Ἀριστο- θ'
τέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασι φησὶν, οἱ
μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσι μᾶλ-
λον, ἢ οἱ δὶς τροφαῖς χρώμενοι. Θεόπομπος ι'
δὲ ἐν τοῖς θαυμασίοις ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων
πολλῶν ἐπιπολαζόντων ἰκτίνων ἐν τῇ πανη-
γύρει, καὶ διασυριζόντων τὰ διαφερόμενα κρέα τῶν
ἱεροθύτων ἀθιγῆ μένειν. Ἀριστοτέλης δὲ ἐν νο- ια'
μίμοις βαρβαρικοῖς τῆς Καρίας σκορπίοι γίνονται,
οἱ τοὺς μὲν ξένους πατάξαντες, οὐ λίαν ἀδικοῦσι·
τοὺς δὲ ἐπιχωρίους παρ' αὐτὰ ἀποκτείνουσιν. Πε- ιβ'
ρὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην πο-
ταμὸν, ὀφίδια γίγνεται, καὶ τοὺς μὲν ξένους
τύπτει, τοὺς δ' ἐντοπίους οὐκ ἀδικεῖ. Ἐν τοῖς ιγ'
κατὰ τόπους μυθικοῖς ἐν Ἁλικαρνασσῷ θυσίας τι-
νὸς τῷ Διὶ τῷ Ἀσκραίῳ συντελουμένης ἀγέ-
λην αἰγῶν ἄγεσθαι πρὸ τοῦ ἱεροῦ καὶ ἵστασθαι.
τῶν δὲ κατευχῶν συντελεσθεισῶν, προβαίνειν
μίαν αἶγα ὑπὸ μηδενὸς ἀγομένην, καὶ προ-
σέρχεσθαι τῷ βωμῷ. τὸν δὲ ἱερέα λαβόμε-
νον αὐτῆς, καλλιερεῖν. Φύλαρχος ἐν τῇ ιδ'
η, τῶν ἱστορικῶν, καὶ κατὰ τὸν Ἀράβιον φησὶ

κόλπον

κόλπον πηγὴν εἶναι ὕδατος, ἐξ οὗ εἴ τις τοὺς
πόδας χρίσειεν, συμβαίνειν εὐθέως ἐντείνεσθαι
πολὺ τὸ αἰδοῖον. καὶ τινῶν μὲν, μὴ δ' ὅλως
συστέλλεσθαι, τινῶν δὲ μετὰ μεγάλης κακοπα-
ιε′ θείας καὶ θεραπείας ἀποκαθίστασθαι. Σκυτῖνος
δὲ ὁ Χῖος τὴν Βρεττανικὴν νῆσον λέγει σταδίων
εἶναι τετρακοσίων τὸ περίμετρον· γίνεσθαι δὲ
ἐν αὐτῇ τὰ γενήματα ἀπύρηνα, οἷον τὰς ἐλαίας
πυρῆνας μὴ ἔχειν, μηδὲ βότρυς γίγαρτον, μηδὲ
ις′ τὰ ἐμφερῆ τούτοις. Θεόφραστος δὲ ἐν τῇ πε-
ρὶ τῶν φυτῶν πραγματείᾳ, τὴν θαψίαν ῥί-
ζαν, ᾗ οἱ ἰατροὶ χρῶνται, ἐάν τις σὺν κρέασιν
ἑψήσῃ, τὰ πολλὰ ἓν γίνεσθαι, ὥστε ἐκ τοῦ ἀγ-
ιζ′ γείου μηκέτι δύνασθαι ἐξαιρεθῆναι. Κτη-
σίας περὶ Ἰνδοῖς ξύλον γενέσθαί φησιν, ὃ καλεῖ-
ται πάρυβον· τοῦτο ἐφ' ἑαυτὸ ἕλκει πᾶν τὸ προσ-
κομισθὲν αὐτῷ, οἷον χρυσὸν, ἄργυρον, κασσίτε-
ρον, χαλκὸν, καὶ τἄλλα μεταλλικὰ πάντα.
ἕλκει δὲ καὶ τὰ σύνεγγυς ἱστάμενα στρουθία. ἐὰν δὲ
μεῖζον ᾖ τὸ ξύλον, καὶ αἶγας, καὶ πρόβατα, καὶ
ιη′ τὰ ὁμήλικα ζῷα. Φύλαρχος ἐν κ, ἱστο-
ριῶν, ἐκ τῆς Ἰνδικῆς φησὶν ἐνεχθῆναι λευκὴν
ῥίζαν, ἣν κόπτοντες μεθ' ὕδατος καταπλάτ-
τειν τοὺς πόδας· τοὺς δὲ καταπλασθέντας ἄν-
δρας τῆς συνουσίας λήθην ἴσχειν, καὶ γίνεσθαι
ὁμοίους εὐνούχοις. Διὸ καὶ ἔτι ἀνήβων ὄντων κα-
ταχρίουσι,

ταχρίουσι, καὶ μέχρι θανάτου οὐκ ἐπαίρουσιν.
Ἡρακλείδης δὲ ὁ κρητικὸς, ἐν τῷ περὶ τῶν ἐν ιθ´
τῇ ἑλλάδι πόλεων, κατὰ τὸ Πήλιον ὄρος φύεσθαί
φησιν ἄκανθαν καρποφόρον, ἧς τὸν καρπὸν ἐάν
τις τρίψας μετ᾽ ἐλαίου καὶ ὕδατος, χρίσῃ τὸ
αὐτοῦ ἢ ἄλλου σῶμα χειμῶνος ὄντος, οὐκ ἐπιπαθή-
σεται τοῦ ψύχους. Κτησίας δὲ ἐν τῇ δε- κ´
κάτῃ περσικῶν, καμήλους τινὰς ἐν τῇ χώρᾳ
γίγνεσθαι, ἃς ἔχειν τρίχας πρὸς Μιλήσια ἔρια
τῇ μαλακότητι· ἐκ δὲ τούτων τοὺς ἱερεῖς καὶ τοὺς
ἄλλους δυνάστας τὰς ἐσθῆτας φορεῖν. Τῶν κα´
παρατετηρημένων δ᾽ ἐστὶ, τὸ τὰ δίχηλα μόνα τῶν
ζώων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν·
ἀποδέδωκεν τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς φυ-
σικοῖς προβλήμασιν, διατί ἐν τοῖς ὀπισθίοις καὶ
οὐκ ἐμπροσθίοις. Οὐδὲν γὰρ μάτην ἡ φύσιν ἐποίη-
σεν. Συνῶπται δὲ ἐν τῷ βίῳ καὶ τὸ μη- κβ´
δὲν τῶν κερασφόρων ζώων ἀποψοφεῖν· ἀποδέ-
δωκεν δὲ καὶ τούτων τὴν αἰτίαν Ἀριστοτέλης ἐν
τοῖς προβλήμασιν. Θαυμαστὸν δὲ καὶ τὸν κγ´
ἥλιον μελαίνειν ἡμᾶς, τὸ δὲ πῦρ μηδ᾽ ὅλως, καὶ
τὸ τὸν ἀδάμαντα μὴ θερμαίνεσθαι πυρούμενον. τὴν
μάγνητα λίθον ἡμέρας μὲν οὔσης ἕλκειν· νυκ-
τὸς δὲ ἧττον, ἢ οὐδὲ ὅλως ἕλκειν. Εὔδοξος ὁ κδ´
Ῥόδιος περὶ τὴν Κελτικὴν εἶναί τι ἔθνος φησὶν,
ὃ τὴν ἡμέραν οὐ βλέπειν, τὴν δὲ νύκτα ὁρᾶν.

Ἀριστο-

κϛʹ Ἀριστοτέλης ἐν τῷ περὶ μέθης Ἄνδρωνα φησὶν Ἀργεῖον ἐσθίοντα πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψον καὶ ἄποτον διετέλεσεν. ἔτι δὲ πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου ὁδοῦ, ἄλφιτα ξηρὰ σιτούμενος, οὐ προσηνέγκατο ὑγρόν. τοῦτο δὲ

κζʹ ἐποίησε δι' ὅλου τοῦ βίου. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζωῆς καὶ θανάτου φησὶν, τὴν χελώνην στερισκομένην τῆς καρδίας, ζῆν. οὐκ ἔτι δὲ διώκει σεν ἐρίαν αὐτῆς, ἢ τὴν χερσαίαν, ἢ τὴν ἔνυδρον.

κηʹ Ἀριστοτέλης δὲ ἐν τοῖς ζωϊκοῖς (δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν περὶ ζώων, ἡ δὲ περὶ τῶν ζωϊκῶν) οἱ φθεῖρες φησὶν ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσι νόσοις, μελλόντων τελευτᾶν τῶν παρόντων. ἀλλ' ὅτε τὰ προσκεφάλαια ἐκφέρονται, προλελοιπότες τὴν κεφαλήν.

κθʹ Ἀριστοτέλης ἐν τοῖς ζωϊκοῖς, ὁ ῥύπος φησὶν ἐν τοῖς ὠταρίοις γιγνόμενος, πικρὸς ὢν, ὅτ' ἂν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις, γλυκὺς γίνεται, τοῦτο δέ (φησιν) παρατετήρηται ὑπὸ πολλῶν γιγνόμενον· ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου,

λʹ ἐν τοῖς φυσικοῖς προβλήμασιν. Θεόφραστος ἐν τῇ περὶ φυτῶν πραγματείᾳ, ἐὰν αἱ μῆτραι φησὶ προπίωσιν ἀριστολοχίαν ἐν ὕδατι βεβρεγμένην, καταντλείσθωσαν πλείονας ἡμέρας.

λαʹ Ἀριστόξενος δὲ ὁ μουσικὸς τεταρταΐζοντας τὴν ἐλξίνην φησὶν βοτάνην μετὰ ἐλαίου τριβομένην, καὶ συγχριο-

χρωμένην πρὸ τῆς λήψεως ἀπολύειν τοῦ πάθους.
Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὰ πρόβατά φη- λα'
σιν τὰ ἐν τῷ Πόντῳ τὸ ἀψίνθιον νεμόμενα, οὐκ ἔχειν
χολήν. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, ἐν Ἰνδοῖς λβ'
μὴ γίνεσθαι, μήτε ἐρέβινθον, μήτε φακὸν, μήτε κύα-
μον. Ἔτι Θεόφραστος ἐν τῷ ζ', περὶ φυτῶν, τῆς Βακ- λγ'
τριανῆς ὁδοῦ ἔν τισι κώμαις πυρὸν γίγνεσθαι οὕ-
τως εὐγενῆ, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἴσχειν.
Ὁ αὐτὸς φιλόσοφος ἐν Ὀλυμπίᾳ καὶ Ζακύνθῳ λδ'
δημιουργουμένην φησὶ τὴν σίτῳ εὐγενέστερον ποιεῖ *
φαίνεσθαι τοῦτον. Τῶν παρατετηρημένων ἐστὶ δὲ λε'
καὶ τοῦτο, τὰς ἐγκύους τῶν γυναικῶν συνεχῶς
πλησιαζούσας τοῖς ἀνδράσιν, εὐκόπως καὶ ἀκα-
κοπαθήτως τίκτειν· εἴρηκεν δὲ τοῦτο καὶ Ἀρι-
στοτέλης, ἐν τῇ ια, τῶν ἱστοριῶν. Τάκος ἐν τῷ λς'
περὶ λίθων· ὁ Καρύστιος (φησὶν) λεγόμενος λί-
θος ἰθυφύσεις ἔχει ἐριώδεις καὶ χροώδεις, ἐξ οὗ νή-
θεται καὶ ὑφαίνεται χειρεκμαγεῖα. στρέφουσι δὲ ἐξ
αὐτοῦ καὶ ἐν λυχνίᾳ· καὶ ἔστιν καιόμενα λαμπρὰ
καὶ ἀκατάκαυστα· τῶν δὲ ἐκμαγείων τῶν ῥυ-
παινομένων ἡ πλύσις γίγνεται, οὐ δι' ὕδατος,
ἀλλὰ κληματὶς καίεται, καὶ τότε τὸ ἐκμαγεῖον
ἐπιτίθεται. καὶ ὁ μὲν ῥύπος ἀποῤῥεῖ, αὐτὸ δὲ λευκὸν καὶ
καθαρὸν γίνεται ὑπὸ τοῦ πυρὸς, καὶ πάλιν εἰς τὰς αὐ-
τὰς ἐγχωρήζει χρείας. τὰ δ' ἐλλύχνια μένει τὸν ἅ-
παντα χρόνον ἀκατασκεύαστα καιόμενα μετ'

ἐλαίου.

ἐλαίου· δοκιμάζεσθαι δὲ καὶ τῶν πτωματιζομένους ἡ ὀσμὴ τοῦ ἐλλυχνίου καιομένου. γίγνεται δὲ ὁ λίθος οὗτος, καὶ ἐν Καρυστῷ μὲν, ἀφ' οὗ καὶ τοὔνομα ἔλαβεν. πολὺς δὲ ἐν Κύπρῳ καταβαινόντων ἀπὸ τῶν Γεραίνδρου ὡς ἐπὶ Σόλους πορευομένοις, ἐν ἀριστερᾷ τοῦ Ἐλμαίου ὑπὸ κάτω πετρῶν. καὶ κατὰ τὴν πανσέληνον αὔξεται, καὶ πάλιν φθίνοντος τοῦ σεληνίου μειοῦται καὶ ὁ λίθος.

λζ' Ἀριστοτέλης ἐν Φυσικοῖς προβλήμασιν, τῶν κυρτῶν βαρεῖα ἡ ἀναπνοὴ διὰ τοῦ στόματος ἐξέρχεται. ἀποδέδωκεν δὲ καὶ τοῦ γιγνομένου τὴν αἰτίαν.

λη' Εὔδοξος δὲ ὁ Κνίδιος ἐν τῷ ζ, τῆς περιόδου, ὅσιν ἐπὶ πᾶσι τῶν ἐν Λιβύῃ τι ἔθνος εἶναι, ὁ ὑπὲρ ἄνω, Σύρτεων δὲ καὶ Χαρχηδόνος πρὸς ἀναβολὰς κείμενοι, οἱ καλοῦνται Γύζαντες, οἵ τινες τέχνην ἐπιτηδεύουσιν, τὰ ἄνθη συλλέγοντες τὰ ἐν τοῖς τόποις μέλι ποιεῖν τοσοῦτον καὶ τοιοῦτον, ὥστε γίγνεσθαι οἷον τὸ ὑπὸ τῶν μελιστῶν γιγνόμενον.

λθ' Ἀριστοτέλης ἐν ταῖς ἐκλογαῖς τῶν ἀνατομῶν φησὶν, ὄφις ὤφθη ἐν Γάφῳ πόδας ἔχων δύο, ὁμοίους χερσαίῳ κροκοδείλῳ.

μ' Ἀριστόξενος ὁ Μουσικὸς ἐν τῷ Τελέσου βίῳ φησὶν, ὧπερ ἐν Ἰταλίᾳ συνεκύρησεν, ὑπὸ τὸν αὐτὸν καιρὸν γίγνεσθαι πάθη ὧν ἓν εἶναι καὶ τὸ περὶ τὰς γυναῖκας γενόμενον ἄτοπον. ἐκστάσεις γὰρ γίγνεσθαι τοιαύτας, ὥστε ἐνίοτε καθη-

καθημένας καὶ δειπνούσας, ὡς καλοῦντός τινος ὑπακούειν, εἶτα ἐκπηδᾶν ἀκατασχέτους γιγνομένας, καὶ τρέχειν ἐκτὸς τῆς πόλεως· μαντευομένοις δὲ τοῖς Λοκροῖς καὶ Ῥηγίνοις περὶ τῆς ἀπαλλαγῆς τοῦ πάθους εἰπεῖν τὸν θεὸν, παιᾶνας ᾄδειν ἐαρινοὺς δωδεκάτης ἡμέρας ξ΄. ὅθεν πολλοὺς γενέσθαι παιανογράφους ἐν τῇ Ἰταλίᾳ.
Θεόφραστος ἐν τῷ η΄, τὴν φυτὴν τὸν σκορπίον βο- μα΄
τάνιον, οἱ δὲ θηλύφονον καλοῦσιν ἐπιτιθέμενον τοῖς σκορπίοις ξηραίνειν αὐτοὺς εὐθέως· τῶν παρατετηρημένων ἐστὶ δυσκατούλωτα ἕλκη γίγνεσθαι, ταῖς τε κυούσαις καὶ σπληνικοῖς καὶ τοῖς κιρσοὺς ἔχουσι, καὶ ταῖς γυναιξὶν, ὅσαις ἰξίαι περὶ
τοὺς μηροὺς ἐνῶσιν. Θεόφραστος ἐν τῷ περὶ φυτῶν μβ΄
περὶ Σόλους τῆς Κιλικίας, περὶ τὸν ποταμὸν τὸν λεγόμενον Πίναρον, οὗ μάχη Ἀλεξάνδρου πρὸς Δαρεῖον ἐγένετο, αἱ ῥόαι ἄπυρηνοι γίγνονται· δι᾿ ὅλου
δὲ τοῦ βίου κόκκοι τὸ οἰνίζον ἔχουσιν. Ἀριστοτέ- μγ΄
λης ἐν τοῖς περὶ ζῴων, ἡ μέλισσά φησιν ἀποβάλλουσα τὸ κεντεῖον ἀποθνήσκει· αἱ δὲ βασά-
ζουσιν ἔξω τοῦ σμηνιδῶνος. Τῶν παρατετηρη- μδ΄
μένων ἐστὶ, τὸ καὶ τοῖς λευκοΐοις ἄνθεσιν ἢ στεφάνοις, διὰ νυκτὸς λύχνους παρακαίεσθαι, ἵνα εἰς τὴν πρωΐαν ταῦτα παραμένει ἀμάραντα. ποιοῦ-
σι δὲ τοῦτο οἱ στεφανηπλόκοι. Θεόφραστος ἐν με΄

ϑ τῇ έ,

τῇ ε΄, τῶν φυσικῶν αἰτίων φησὶν τὰ κέλυφα τῶν
κυάμων περὶ τὰς ῥίζας τῶν δένδρων περι-
τιθέμενα, ξηραίνειν τὰ φυόμενα. καὶ αἱ κα-
τοικίδιαι δὲ ὄρνιθες συνεχῶς ταῦτα ἐσθίουσαι,
ἄτοκοι γίγνονται, ὅθεν καὶ διὰ ταύτην τὴν
αἰτίαν, τάχα δὲ καὶ δι' ἄλλας, οἱ Πυθαγό-
ρειοι ἀπηγορεύκασι τὸ κυάμῳ χρῆσθαι· καὶ
γὰρ πνευματοποιὸν καὶ δύσπεπτον· καὶ τοὺς
μς' ὀνείρους τεταραγμένους ἡμῖν ἐμποιεῖ. Τὰ
ὕδατα βροντῶν συνεχῶν γιγνομένων, σκληρό-
τερα γίγνεται, καθάπερ Θεόφραστος ἐν τοῖς
μζ' περὶ φυτῶν εἴρηκεν. Θεόφραστος ἐν τῷ
περὶ φυτῶν φησὶν, ἡ λιβανωτὶς βοτάνη συν-
τιθεμένη μετὰ ἱματίων κωλύει σῆτας ἐγγί-
γνεσθαι· ἄξια δ' ἐστὶν ἐπιστάσεως τὰ εἰρημένα.
μη' Θεόφραστος ἐν τῷ περὶ ἐνθουσιασμῶν ὑπει-
πεῖν. φησὶ γὰρ ἐκεῖνος τὴν μουσικὴν πολλὰ
τῶν περὶ ψυχὴν καὶ τὸ σῶμα γιγνομένων πα-
θῶν ἰατρεύειν· καθάπερ λιποθυμίαν, φό-
βους, καὶ τὰς ἐπὶ μακρὸν γιγνομένας τῆς
διανοίας ἐκστάσεις. Ἰᾶται γάρ φησιν ἡ κα-
ταύλησις καὶ ἰσχιάδα καὶ ἐπιληψίαν, κα-
θάπερ πρὸς Ἀριστόξενον τὸν μουσικὸν ἐλθόντα
χρήσασθαι αὐτὸν τοῦ μαντίου τοῦ τῆς πασιφί-
* λης * δαμωπι ἀδελφῆς, λέγεται τὸν μου-

σικὸν

σικὸν καταστῆσαι τῶν ἐξισταμένων ἐν Θήβαις ὑπὸ
τὴν τῆς σάλπιγγος φωνήν· ἐπὶ τοσοῦτον
γὰρ ἐβόησεν ἀκούων, ὥστε ἀσχημονεῖν. εἰ δέ πο-
τε καὶ πολεμικὸν σαλπίσειέ τις, πολὺ χεῖ-
ρον πάσχειν μαχόμενος· τοῦτον οὖν κατὰ μι-
κρὸν τῷ αὐλῷ προσάγειν· καὶ ὡς ἄν τις εἴποι
ἐκ προσαγωγῆς ἐποίησεν καὶ τὴν τῆς σάλ-
πιγγος φωνὴν ὑπομένειν· θεραπεύει δὲ ἡ κα-
ταύλησις· καὶ ἐάν τι μέρος τοῦ σώματος ἐν
ἀλγήματι ὑπάρχῃ, καταυλουμένου τοῦ σώ-
ματος, καταύλησις γινέσθω ἡμέρας ἕως ἐλά-
χιστα καὶ εὐθέως τῇ πρώτῃ ἡμέρᾳ, ἐλάττων
ὁ πόνος γενήσεται καὶ τῇ δευτέρᾳ· τὸ δὲ γιγνό-
μενον διὰ τῆς καταυλήσεως, ἐπιχωριάζει
καὶ ἀλλαχῇ, μάλιστα δὲ ἐν Θήβαις μέχρι τῶν
νῦν χρόνων. Θεόφραστος ἐν τῷ πε-
ρὶ φυτῶν ἐν τῇ ἑξάτῃ τῆς πραγματείας, μθ
Εὔνομος φησὶν ὁ Χῖος ὁ φαρμακοπώλης, ἐλ-
λεβόρου πίνων πλείονας πόσεις οὐκ ἐκαθαί-
ρετο· καί ποτε ἔφη ἐν μιᾷ ἡμέρᾳ συνθέμενος
τοῖς ὁμοτέχνοις, περὶ δύο καὶ εἴκοσι πόσεις
ἔλαβεν ἐν τῇ ἀγορᾷ καθήμενος, καὶ οὐκ ἐξα-
νέστη ἀπὸ τῶν σκευῶν· τότε δ' ἀπῆλθεν λούσασθαι
καὶ δειπνῆσαι, ὥσπερ εἰώθει, καὶ οὐκ ἐξήμεσεν·
τοῦτο δὲ ἔπραξεν ἐν πολυχρονίῳ συνηθείᾳ γε-

γονῶς, ἀρξάμενος ἀπὸ ὀλίγου, ἕως τοσού-
των πόσεων· πάντων δὲ τῶν φαρμάκων
αἱ δυνάμεις ἀσθενέστεραι τοῖς συνηθισμένοις,
ἀήθοις δὲ καὶ ἄπρακτοί εἰσιν· ἄξιον δὲ ἐπιστῆ-
ν' σαι πρᾶγμα. Ἀριστοτέλης δὲ ἐν τοῖς φυ-
σικοῖς προβλήμασι εἴρηκεν, τοὺς ἀνθρώπους
φησὶ βεβρωκότα καὶ πεπωκότα τοὺς αὐ-
τῶν σταθμοὺς ἄγειν, καὶ ὅτε νήστεις ὑπῆρ-
χεν· πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ
γιγνομένου ἀποδιδόναι.

Ἀπολλωνίου ἱστοριῶν θαυμα-
σίων τέλος.

ΑΝΤΙΓΟΝΟΥ ΙΣΤΟ-ρίων παραδόξων συναγωγή.

α΄ Τίμαιος ὁ τὰς Σικελικὰς ἱστορίας συγγεγραφώς, ἐν Ῥηγίῳ φησὶ τοὺς Λοκροὺς καὶ τοὺς Ῥηγίνους ὁρίζοντος Ἄληκος καλουμένου ποταμοῦ, τῶν τεττίγων τοὺς μὲν ἐν τῇ Λοκρικῇ ᾄδειν, τοὺς δὲ ἐν τῇ Ῥηγίνων ἀφώνους εἶναι. Λέγεται δέ τι τούτου μυθωδέστερον. ἀφικομένων γὰρ εἰς Δελφοὺς κιθαρῳδῶν, Ἀρίστωνος μὲν ἐκ Ῥηγίου, παρὰ δὲ Λοκρῶν Εὐνόμου, καὶ περὶ τοῦ κλήρου πρὸς ἑαυτοὺς εἰς ἀντιλογίαν ἐλθόντων, ὁ μὲν οὐκ ᾤετο δεῖν ἐλαττοῦσθαι τῆς ὅλης Ῥηγίνων ἀποικίας ἐκ Δελφῶν, καὶ παρὰ τοῦ θεοῦ γεγενημένης· ὁ δὲ κατέτρεχεν, ὅτι τὸ παράπαν οὐδὲ κιθαρῳδεῖν καθήκει, παρ᾽ οἷς οὐδ᾽ οἱ τέττιγες ᾄδουσιν. εὐημερήσαντος γ᾽ οὖν τοῦ Ῥηγίνου ἐν τῷ ἀγῶνι, ἐνίκησεν Εὔνομος ὁ Λοκρὸς, παρὰ τοιαύτην αἰτίαν· ᾄδοντος αὐτοῦ, μεταξὺ τέττιξ ἐπὶ τὴν λύραν ἐπιστὰς, ᾖδεν· ἡ δὲ πανήγυρις ἀνεβόησεν ἐπὶ τῷ γεγονότι, καὶ ἐκέλευσεν ἐᾶν.

β΄ Καὶ ἄλλο δὲ παρὰ τοῖς Ῥηγίνοις τοιοῦτον, ὡς μυθικὸν ἱστορεῖται, ὅτι Ἡρακλῆς ἔν τινι τόπῳ τῆς χώρας κατακοιμηθεὶς, καὶ ἐνοχλούμενος ὑπὸ τῶν

τεττίγων, ηὔξατο αὐτοὺς ἀφώνους γενέσθαι.

γ' Καὶ ἐν Κεφαλληνίᾳ δὲ ποταμὸς διείργει· καὶ ὧδε τάδε μὲν γίνονται τέττιγες, ἐπέκεινα δὲ,

δ' οὔ. Οὐδ' ἐν Σερίφῳ δὲ οἱ βάτραχοι φθέγγονται. καὶ μυθῶδες καὶ παρὰ τοῖς Σεριφίοις ἐνίσχυσεν πλὴν οἱ μὲν περὶ Ἡρακλέους, οἱ δὲ

ε περὶ Περσέως. Ὁ δὲ Μυρσίλος ὁ τὰ Λεσβιακὰ συγγεγραφὼς, φησίν· Τῆς Ἀντισσαίας ἐν ᾧ τόπῳ μυθολογεῖται, καὶ δείκνυται δὲ ὁ τάφος ὑπὸ τῶν ἐγχωρίων τῆς τοῦ Ὀρφέως κεφαλῆς, τὰς ἀηδόνας εἶναι εὐφωνοτέρας τῶν ἄλ-

ς' λων. Πίπτοι δ' ἂν τὸ γένος τῆς ἐκλογῆς, εἰς τοὺς λεγομένους ἐν τῇ Ἀττικῇ καὶ Βοιωτίᾳ πέρδικας· ὧν τοὺς μὲν εὐφώνους, τοὺς δὲ τελείως

ζ ἰσχνοφώνους ὁμολογεῖται γίνεσθαι. Ἴδιον δὲ καὶ τὸ περὶ τὰ ἔντερα τῶν προβάτων· τὰ μὲν γὰρ τῶν κριῶν ἐστιν ἄφωνα, τὰ δὲ τῶν θηλειῶν, εὔφωνα· ὅθεν καὶ τὸν ποιητὴν ὑπολάβοι τις εἰρηκέναι, πολυπράγμονα πανταχοῦ καὶ περιττὸν ὄντα,

Ἑπτὰ δὲ θηλυτέρων οἴων ἐτανύσατο χορδάς.

η Οὐχ ἧττον δὲ τούτου θαυμαστὸν, καθωμιλημένον δὲ μᾶλλον, τὸ περὶ τῆς ἐν τῇ Σικελίᾳ ἄκανθαν, τὴν καλουμένην κάκτον· εἰς ἣν ὅταν ἔλαφος ἐμβῇ καὶ τραυματισθῇ, τὰ ὀστᾶ ἄφωνα καὶ ἄχρηστα πρὸς αὐλοὺς ἴσχει· ὅθεν καὶ ὁ Φιλήτας ἐξηγήσατο περὶ αὐτῆς, εἴπας·

Γηρύ

Κηρύσσετο δ' νεβρὸς ἀπὸ ζωὴν ὀλέσασα, ‹‹
Ὀξείης κάκτου τύμμα φυλαξαμένη. ‹‹

Ἐν δ' ταῖς τῶν Λημνίων νήσοις ταῖς καλουμέναις θ'
Νέαις, πέρδικες οὐ γίνονται, ἀλλὰ κἂν ἴδῃ τις,
ἀπόλλυνται· ἔνιοι δὲ τοῦτο τερατωδέστερον
ἱστοροῦσιν, ὅτι κἂν ἴδωσι τὴν χώραν. Τῆς δ' Βοιω- ι'
τίας ἐχούσης πλῆθος πολλοὺς ἀσπάλακας, ἐν
τῇ Κορωνικῇ μόνῃ οὐ γίνεσθαι τοῦτο τὸ ζῶον, ἀλλὰ
κἂν εἰσαχθῇ τελευτᾷ, καθάπερ αἱ γλαῦκες
ἐν Κρήτῃ ἐν ᾗ λέγουσιν· οὐδὲ ζῶον θανάσιμον οὐδὲν
τὴν χώραν φέρειν. Ἐν Ἀστυπαλαίᾳ δὲ ὄφεις ια'
οὐ γίνονται, οὐδὲ ἐν Ἰθάκῃ λαγῶς· οὐδὲ ἐν Λι-
βύῃ, ὗς ἄγρια, οὐδ' ἔλαφοι· οὐδὲ ἐν Ῥηνίᾳ τῇ πρὸς
Δήλῳ, γαλῆ· οὐδὲ μελεαγρὶς οὐδαμοῦ ἄλλῃ
ὁρᾶται. Ἀμελησαγόρας δὲ ὁ Ἀθηναῖος ὁ ιβ'
τὴν Ἀτθίδα συγγεγραφὼς, οὔ φησι κορώ-
νην προσίπτασθαι πρὸς τὴν ἀκρόπολιν, οὐδ' ἔχειν
ἂν εἰπεῖν ἑωρακὼς οὐδείς. Ἀποδίδωσιν δ' τὴν
αἰτίαν μυθικῶς. Φησὶν γὰρ Ἡφαίστῳ δοθείσης
τῆς Ἀθηνᾶς, συγκατακλιθεῖσαν αὐτὴν ἀφα-
νισθῆναι· τὸν δὲ Ἥφαιστον εἰς γῆν πεσόν-
τα, προΐεσθαι τὸ σπέρμα· τὴν δὲ γῆν ὕστε-
ρον αὐτῷ ἀναδοῦναι Ἐριχθόνιον· ὃν τρέφειν
τὴν Ἀθηνᾶν, καὶ εἰς κίστην καθεῖρξαι, καὶ πα-
ραθέσθαι ταῖς Κέκροπος παισὶν, Ἀγραύλῳ,
καὶ Πανδρόσῳ καὶ Ἕρσῃ, καὶ ἐπιτάξαι μὴ

ἀνοίγειν τὴν κίστην, ἕως ἂν αὐτὴ ἔλθῃ· ἀφι-
κομένην δὲ εἰς Πελλήνην, φέρειν ὄρος, ἵνα ἔρυμα
πρὸ τῆς ἀκροπόλεως ποιήσῃ· τὰς δὲ Κέκρο-
πος θυγατέρας τὰς δύο, Ἄγλαυρον καὶ Πάν-
δροσον, τὴν κίστην ἀνοῖξαι, καὶ ἰδεῖν δράκον-
τας δύο περὶ τὸν Ἐριχθόνιον· τῇ δὲ Ἀθηνᾷ φε-
ρούσῃ τὸ ὄρος, ὃ νῦν καλεῖται Λυκαβηττός, κο-
ρώνην φησὶν ἀπαντῆσαι, καὶ εἰπεῖν, ὅτι Ἐριχθό-
νιος ἐν φανερῷ· τὴν δὲ ἀκούσασαν, ῥίψαι τὸ
ὄρος ὅπου νῦν ἐστι· τῇ δὲ κορώνῃ διὰ τὴν κακαγ-
γελίαν, εἰπεῖν, ὡς εἰς ἀκρόπολιν οὐ θέμις αὐτῇ
ιγʹ ἔσται ἀφικέσθαι. Οὐδὲ κατὰ τὴν Σκυθῶν
χώραν, ὁμοίως δὲ οὐδὲ κατὰ τὴν Ἠλίαν ἡμίονος οὐ
ιδʹ γεννᾶται. Θεόπομπος δέ φησιν κατὰ τοὺς
ἐν Θράκῃ Χαλκιδεῖς, εἶναί τινα τόπον τοιοῦ-
τον, εἰς ὃν ὅτι μὲν ἂν τῶν ἄλλων ζῴων εἰσέλθῃ,
πάλιν ἀπαθὲς ἀπέρχεται· τῶν δὲ κανθάρων
οὐδεὶς διαφεύγει· κύκλῳ δὲ στρεφόμενοι, τελευ-
τῶσιν αὐτοῦ. Διὸ δὴ καὶ τὸ χωρίον ὀνομάζεσθαι
ιεʹ Κανθαρόλεθρον. Ἐν δὲ Κραννῶνι τῆς Θετ-
ταλίας, δύο φασὶν μόνον εἶναι κόρακας· διὸ καὶ
ἐπὶ τῶν προξενιῶν τῶν ἀναγραφομένων τὸ πα-
ράσημον τῆς πόλεως (καθάπερ ἐστὶν ἔθιμον
πᾶσι προσπαρατιθέναι) ἐπιγράφονται δύο
κόρακες ἐφ' ἁμαξίου χαλκοῦ, διὰ τὸ μηδέπο-
τε πλείους τούτων ὦφθαι. Ἡ δὲ ἅμαξα προσπα-

φαίνεται διὰ τοιαύτην αἰτίαν. ξένον γὰρ ἴσως
ἂν καὶ τοῦτο φανείη. Ἔστιν αὐτοῖς ἀνακειμένη χαλ-
κῆ, ἣν ὅτ' ἂν αὐχμὸς ᾖ σείοντες ὕδωρ αἰτοῦν-
ται τὸν θεόν, καί φασι γίνεσθαι. τοῦτο δέ τι ἰ-
διώτερον ὁ Θεόπομπος λέγει. φησὶ γὰρ ἕως
τούτου διατρίβειν αὐτοὺς ἐν τῇ Κράννωνι, ἕως ἂν
τοὺς νεοττοὺς ἐκνεοττεύσωσιν· τοὺς δὲ ποιήσαντας,
τοὺς μὲν νεοττοὺς καταλείπειν, αὐτοὺς δὲ ἀπιέναι.
Καὶ ἐν Ἐκβατάνοις δὲ καὶ ἐν Πέρσαις Κτησίας ιϛʹ
ἱστορεῖ παραπλήσιόν τι τούτοις· διὰ δὲ τὸ αὐτὸν
πολλὰ ψεύδεσθαι παρελείπομεν τὴν ἐκλογήν.
καὶ γὰρ ἐφαίνετο τερατώδης. Μύρσιλος ιζʹ
δὲ ὁ Λέσβιος ἐν τῷ ὄρει φησὶν Λεπετύμνῳ, ἱερὸν
Ἀπόλλωνος εἶναι, καὶ ἡρῷον Λεπετύμνου,
ἐφ' ᾧ καθάπερ ἐν τῇ Κράννωνι δύο μόνους εἶναι
κόρακας, ὄντων οὐκ ὀλίγων ἐν τοῖς πλησίον τό-
ποις. Ἐν Λάτμῳ δὲ τῆς Καρίας φησὶν Ἀ- ιηʹ
ριστοτέλης τοὺς σκορπίους, ἐὰν μὲν τῶν ξένων τινὰ
πατάξωσιν, μετρίως λυπεῖν· ἐὰν δὲ τῶν ἐγχω-
ρίων, ἕως θανάτου κατατείνειν. Τῶν δὲ Λι- ιθʹ
βύων καλοῦνται Ψύλλιοί τινες, παρ' οἷς ἀνά-
παλίν τι γίνεται τοῦτο· ὑπὸ γὰρ τῶν ἀσπίδων
οὗτοι μὲν οὐδὲν πάσχουσι τυπτόμενοι· τῶν δὲ
λοιπῶν, οὐκ ἔστιν ὅστις διαφεύγει δηχθείς. Ἐν κʹ
Λυκίᾳ φύεταί τι αἰγόλεθρον, ὃ τῶν μὲν ἐγχω-
ρίων αἰγῶν οὐδεμία γεύεται· ξένη δ' ὅτ' ἂν ἐμπέ-

σῃ, καὶ διὰ τὴν ἄγνοιαν φάγῃ τῆς βοτάνης,
ἀπόλλυται, διαφθαρεῖσα τὸν καλούμενον ἐχῖνον
κα΄ τῆς κοιλίας. Τῆς δὲ Καρυστίας καὶ τῆς
Ἀνδρίας χώρας ἐστὶν πλησίον νῆσος, ἡ καλου-
μένη Γύαρος· ἐνταῦθα οἱ μύες διατρώγουσι τὸν
σίδηρον. ἐν δὲ τῇ νήσῳ θανάσιμός ἐστιν ἡ ἄχερ-
δος. κἂν εἰς ἄλλο δένδρον ἐμπλήξῃς, ἀφαυαί-
κβ΄ νει. Ποιεῖ δὲ αὐτὸ τοῦτο καὶ τὸ τῆς τρυγόνος
κέντρον τῆς θαλαττίας· καὶ ἐὰν εἰς τοὺς ὀδόντας
κγ΄ ἅψῃ, κατασήπει. Ἴδια δὲ καὶ περὶ τὰς συγ-
κρίσεις καὶ ἀλλοιώσεις τῶν ζώων, ἔτι δὲ γενέ-
σεις. Οἷον ἐν Αἰγύπτῳ τὸν βοῦν ἐὰν κατορύξῃς
ἐν τόποις τισὶν, ὥστε αὐτὰ τὰ κέρατα τῆς γῆς
ὑπερέχειν, εἶθ' ὕστερον ἀποπρίσῃς, λέγουσιν μέ-
λιττας ἐκπέτεσθαι. σαπέντα γὰρ αὐτὸν, εἰς τοῦ-
το διαλύεσθαι τὸ ζῶον· ᾧ ὁ φαίνεται Φιλήτας
προσέχειν, ἱκανῶς ὢν περίεργος· προσαγο-
ρεύει οὖν αὐτὰς βουγενεῖς, λέγων·

Βουγενέας φάμενος προσεβήσαο μακρὰ
μελίσσας.

Φασὶ δὲ καὶ τὸν κροκόδειλον σκορπίους γεννᾶν,
καὶ ἐκ τῶν ἵππων σφῆκας γεννᾶσθαι. καί τις
Ἀρχέλαος Αἰγύπτιος τῶν ἐν ἐπιγράμμασιν
ἐξηγουμένων τὰ παράδοξα τῷ Πτολεμαίῳ,
περὶ μὲν τῶν σκορπίων, οὕτως εἴρηκεν·

Εἰς

Εἰς ὑμᾶς κροκόδειλον ἀποφθίμενον διαλύει
Σκορπίοι, ἡ πάντα ζωοθετοῦσα φύσις.

Περὶ δὲ τῶν σφηκῶν·

Ἐκ νέκυος τούτην ἵππου γράψασθε γενέθλην.
Σφήκεσσι γὰρ ζώων οἷα τίθησι φύσις.

Ὁ δὲ Ἀριστοτέλης καὶ ἐκ τῶν σισυμβρείων φησὶν σαπέντων σκορπίους γίνεσθαι. Οὐχ ἧττον δὲ κδ´
τούτων θαυμάσια τὰ φθαρτικὰ τῶν ὠφελούντων, οἷον ὁ γαλεώτης, ὅτ᾽ ἂν ἐκδύῃ τὸ γῆρας, ἐπιστραφεὶς κατέπιεν· ἐπιληψίας γάρ ἐστι φασίν, ὡς ὁ Ἀριστοτέλης καταγράφει, φάρμακον· ὡσαύτως δ᾽ ἡ φώκη μετὰ τὸ τεκεῖν τὴν πυτίαν· καὶ γὰρ τοῦτο πρὸς τὴν αὐτὴν ἀρρωστίαν χρήσιμον· τὰς δὲ ἵππους τὸ ἐπιφυόμενον τοῖς ἐμβρύοις ἱππομανὲς ἀποτρώγειν· γίνεσθαι δὲ τοῦτο ἐπὶ τοῦ μετώπου, καὶ πρὸς πολλὰ ζητεῖσθαι· τὴν δὲ ἔλαφον τὸ δεξιὸν κέρας κατορύττειν· εἶναι δὲ καὶ τοῦτο ἐν πολλοῖς χρήσιμον· ταῦτα μὲν οὖν εἴτε κατὰ προαίρεσιν, εἴτε κατὰ τύχην οὕτως ἔχει, πολλῆς ἐστιν ἐπιστάσεως δεόμενα. Ὁ δὲ πολύπους κε´
ἐν τῷ χειμῶνι τὰς πλεκτάνας αὐτοῦ κατεσθίει· τοῦτ᾽ ἐστίν,

Ἤματι χειμερίῳ ὅτ᾽ ἀνόστεος ὃν πόδα τένει.

Τοὺς δὲ γαλεοὺς τὰ ἔμβρυα ἐξιόντα ἐκ τῆς

κοιλίας, νέμεται· καὶ πάλιν ἐκδύεται κατὰ τὸ στόμα. Ἡ δὲ λέαινα δὶς οὐ κυΐσκεται· τοῖς γὰρ ἐμβρύοις, ὥς φησιν Ἡρόδοτος, συνεκβάλλει τὰς μήτρας. Οὐδὲ ἔχιδνα δίς· ἐσθίει γὰρ

κϛʹ αὐτῆς τὴν κοιλίαν, τὰ ἔμβρυα. Ἡ νυκτερὶς δὲ μόνον τῶν ὀρνέων ὀδόντας ἔχει, καὶ μαστοὺς καὶ γάλα. Φησὶ δὲ ὁ Ἀριστοτέλης καὶ φώκην καὶ φάλαιναν ἴσχειν γάλα· τούτων δὲ οὐχ ἧττον καταγράφει τερατῶδες· ἐν Λήμνῳ γάρ φησιν ἀμελχθῆναι γάλα τράγου τοσοῦτον, ὥστε τροφαλίδας γενέσθαι.

κζʹ Τῶν δὲ ἀλκυόνων οἱ ἄρσενες κηρύλοι καλοῦνται· ὅτ' ἂν οὖν ὑπὸ τοῦ γήρως ἀσθενήσωσι, καὶ μηκέτι δύνωνται πέτεσθαι, φέρουσιν αὐτοὺς αἱ θήλειαι ἐπὶ τῶν πτερῶν λαβοῦσαι· καί ἐστι τὸ ὑπὸ τοῦ Ἀλκμᾶνος λεγόμενον τούτῳ συνῳκειωμένον· φησὶν γὰρ ἀσθενὴς ὢν διὰ τὸ γῆρας, καὶ τοῖς χοροῖς οὐ δυνάμενος συμπεριφέρεσθαι, οὐδὲ τῇ τῶν παρθένων ὀρχήσει.

Οὔ μ' ἔτι παρθενικαὶ μελιγάρυες ἱερόφωνοι
Γυῖα φέρειν δύναται, βάλε δὴ βάλε κη-
ρύλος εἴην.
Ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι
ποτῆται,
Νηλεὲς ἦτορ ἔχων ἁλιπόρφυρος εἴαρος ὄρνις.

κηʹ Ἱκανῶς δὲ καὶ ὁ ὠνιτὴς λέγεται παρὰ πάντων ἐπιμελὴς καὶ πολυπράγμων εἶναι· ὁ γὰρ Ὀδυσ-

ὀδυνωμένους ἐπιφερομένων αὐτῷ τῶν κυνῶν ἐν τῇ
πρὸς τὴν συβώτην ἀναβάσει,

Ἕζετο κερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε
χειρός.

Οὐ γάρ φασιν ὅτ᾽ ἂν διωκόμενός τις συγκαθέσῃ
ἀδικεῖν τοὺς κύνας. Θαυμαστὰ δὲ καὶ τὰ τοῖς κθʹ
τόποις συναφομοιούμενα, οἷον ὅτε πολύπους· γί-
νεται γὰρ ἀδιάγνωστος τῷ χρώματι τοῦ ἐδά-
φους καὶ παντὸς ᾧ ἐὰν περιπλακῇ, ὥστε εἶναι
δυσεργὸν αὐτοῦ τὴν θήραν· ὅθεν δῆλον καὶ ὁ ποιη-
τὴς τὸ θρυλλούμενον ἔγραψεν,

Πουλύποδος ὡς τέκνον ἔχων ἐν στήθεσι θυμόν,
τοῖσιν ἐφαρμόζειν.

Γίνεται δὲ ταὐτὸν καὶ περὶ τὸν χαμαιλέοντα· λʹ
καὶ γὰρ τοῖς στελέχεσι τῶν δένδρων καὶ τοῖς
φύλλοις, καὶ τῇ γῇ τὸν αὐτὸν τρόπον ἅπαντι
τόπῳ συμμεταβάλλει τὴν χροιάν. Ἀριστο- λαʹ
τέλης δέ φησι καὶ τὸν καλούμενον τάρανδον τοῦ-
το πάσχειν, ὄντα τετράπουν, καὶ σχεδὸν ἴσον ὄνῳ,
καὶ παχύδερμον, καὶ τετριχωμένον, καὶ θαυ-
μαστὸν εἶναι, πῶς αἱ τρίχες οὕτως ὀξέως ἀλ-
λοιοῦνται. Γίνεται δὲ καὶ βοτάνη τις, ἣ λβʹ
καλεῖται τριπόλιον· φύεται δ᾽ ἐν τοῖς ἐπιθα-
λαττίοις ἐπὶ τῶν πετρῶν· ἀφίησι δὲ ἄνθος, ὃ
τῆς ἡμέρας τρὶς μεταστρέφεται τὸ χρῶμα· γί-
νεται δὲ ὅτε μὲν λευκόν, ὅτε δὲ φοινικοῦν, ὅτε δὲ
μήλινον.

μήλινον. Καὶ μὴν τάς τε λοιπὰς ἐντρεχείας τῶν ζώων, οἷον ἐν μάχαις, ἐν θεραπείαις τραυμάτων, ἐν παρασκευαῖς τῶν πρὸς τὸν βίον ἀναγκαίων, ἐν φιλοστοργίαις, ἐν μνήμαις, ἀκριβέστατ᾽ ἄν τις ἐκ τῆς τοῦ Ἀριστοτέλους συναγωγῆς καταμάθοι, ἐξ ἧς ἡμεῖς πρότερον ποιη-
λγ′ σόμεθα τὴν ἐκλογήν. Φησὶ περὶ Κωνώπιον τῆς Μαιώτιδος λίμνης, τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν, φυλάττειν τὴν θήραν· ἂν δ᾽ ὑπολαμβάνωσί τι ἀδικεῖσθαι, λυμαίνεσθαι
λδ′ τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν. Ἐν Θράκῃ δὲ τῇ κληθείσῃ ποτὲ Κεδρείπολι, τοὺς ἀνθρώπους, καὶ τοὺς ἱέρακας κοινῇ θηρεύειν τὰ ὀρνιθάρια. τοὺς μὲν γὰρ σοβεῖν τοῖς ξύλοις, τοὺς δὲ ἱέρακας καταδιώκειν· τὰ δὲ φεύγοντα εἰς τοὺς ἀνθρώπους ἐμπίπτειν· διὸ καὶ μεταδιδόναι τοῖς ἱέραξιν αὐ-
λε′ τοὺς τῶν ληφθέντων. Τὰς δ᾽ ἐλάφους λέγει τίκτειν παρὰ τὰς ὁδοὺς, φευγούσας τὰ θηρία· ἥκιστα γὰρ ἐπιτίθεσθαι τοὺς λύκους ἐνθάδε· ἄγειν δὲ καὶ τὰ τέκνα ἐπὶ τῶν σταθμῶν ἐθιζούσας οὗ δεῖ ἀποφεύγειν· εἶναι δὲ τοῦτο, πέτραν ἀπορρῶγα μίαν ἔχουσαν ὁδόν· ἤδη δὲ εἰλῆφθαι ἀχαΐνην ἔλαφον, κιττὸν ἔχουσαν ἐπὶ τῶν κεράτων, ὡς ἂν ἐνύγρων ὄντων· ἁλίσκεσθαι δὲ ἐλάφους καὶ συριττόντων καὶ ᾀδόντων, ὥστε
λϛ′ καὶ κατακλίνεσθαι ὑπὸ τῆς ἡδονῆς. Τὰς

δ᾽ ἐν

δ' ἐν Κρήτῃ αἶγας τὰς ἀγρίας, ὅτ' ἂν τοξευθῶ-
σι, ζητεῖν τὴν δίκταμον. δοκεῖ γὰρ ἐκβλητι-
κὸν εἶναι τῶν βελῶν. Τὴν δὲ πάρδαλιν λζ
φασί τινες κατανενοηκέναι ὅτι τὰ ζῶα τῇ
ὀσμῇ αὐτῆς χαίρει ἀποκρύπτειν ἑαυτὴν, καὶ
οὕτως θηρεύειν τὰ προσπορευόμενα ἐγγύς.
Τὸν δὲ ἰχνεύμονα ὅτ' ἂν ἴδῃ ὄφιν τὴν ἀσπίδα, οὐ λη
πρότερον ἐπιτίθεσθαι, πρὶν καλέσαι βοηθοὺς
ἄλλους. πρὸς δὲ τὰ δήγματα καὶ τὰς πληγὰς
πηλῷ καταπλάττειν ἑαυτόν. βρέξαντας γὰρ
τὸ σῶμα, κυλίεσθαι ἐν τῷ κονιορτῷ. Τῶν δὲ λθ
κροκοδείλων λέγει τοὺς τροχίλους ἐκκαθαί-
ρειν τοὺς ὀδόντας, καὶ ἀπὸ τούτων τρέφεσθαι· τὸν
δὲ ὠφελούμενον, αἰσθάνεσθαι, καὶ ὅταν ἐ-
ξελθεῖν βούλεται ὁ τρόχιλος, τὸν αὐχένα κι-
νεῖν, ἵνα μὴ συνδηχθῇ. Τὴν δὲ χελώνην μ
ὅτ' ἂν ὄφεως φάγῃ, ἐπεσθίειν ὀριγάνου, καί πο-
τέ τινος παρατηρήσαντος, καὶ ἐκτίλαντος
τὴν ὀρίγανον οὐκ ἔχουσαν ἐπιφαγεῖν τελευ-
τῆσαι. Τὴν δὲ γαλῆν ὅταν μάχηται μετὰ μα
τοῦ ὄφεως, τοῦ πηγάνου προεσθίειν. πολέ-
μιον γὰρ εἶναι τοῖς ὄφεσι τὴν ὀσμήν· καὶ πρὸς
τὰς πληγὰς δὲ τοῦ ὄφεως, βοηθεῖν τὸ πή-
γανον ἐν ἀκράτῳ διηθηθὲν καὶ ποθέν·
ὁ γὰρ ὗς ὅτ' ἂν ὑπὸ τοῦ ὄφεως δηχθῇ, φέρε-
ται εὐθέως ἐπὶ τοὺς ποταμοὺς, καὶ ζητεῖ τοὺς

καρ-

καρκίνον· ἔστι δὲ καὶ τοῦτο τῶν καταγεγραφο-
μένων καὶ βοηθεῖ πρὸς τὰς πληγὰς τοῦ ὄφεως
μβ' ἰσχυρῶς. Ἡ φάττα δὲ ὅταν πληγῇ, τὴν
ὀρίγανον ἔσταξεν εἰς τὸ ἕλκος, καὶ γίνεται τοῦ-
μγ' τον τὸν τρόπον ὑγιής. Ὁ δ' οὖν Ἀριστοτέ-
λης τὴν χελιδόνα φησὶν ἐν τῇ σκηνοποιΐᾳ συγ-
καταπλέκειν τοῖς κάρφεσι τὸν πηλὸν, κἂν
ἐλλίπῃ πηλὸς, βρέχουσαν αὑτὴν κυλίεσθαι, καὶ
ταῖς πτέρυξιν ἀναλαμβάνειν, στιβάδα ποιεῖσθαί
τε καθάπερ ἄνθρωπον κάτωθεν ὑποτιθεῖ-
σαν τὰ σκληρά· τοῖς τε νεοττοῖς τὴν τροφὴν δι-
δόναι κατὰ μέρος παρατηροῦσαν, ἵνα μὴ δὶς τοῖς
αὐτοῖς δῷ. τὴν δὲ κόπρον, μικρῶν μὲν ὄντων,
αὐτὴν ἐκβάλλειν· αὐξηθέντων δὲ διδάσκειν ἔξω
μδ' στραφέντα τὰ νεόττια, ἀφοδεύειν. Τὰς δὲ
περιστερὰς οὐ θέλειν πλείοσιν συνδυάζεσθαι,
οὐδὲ προλείπειν τὴν συνουσίαν, ἐὰν μὴ χῆρος ἢ
χήρα γένηται· τοῖς δὲ νεοττοῖς τῆς ἁλμυριζούσης
γῆς διαμασησαμένας, ἐμπτύειν εἰς τὸ στόμα,
με' προπαρασκευαζούσας τροφήν. Τοὺς δὲ
πέρδικας ὅταν θηρεύῃ τις σὺν νεοττοὺς, προκυ-
λίεσθαι τοῦ θηρεύοντος, ὡς ἐπιλήπτους ὄντας,
καὶ ἐπισπᾶσθαι, ἕως ἂν διαδρᾷ τὰ νεόττια,
διὰ δὲ τὸ εἶναι ἀφροδισιαστικοὺς, λυμαίνεσθαι
τὰ ᾠά· ἵνα δὲ μὴ ἐπωάζῃ ἡ θήλεια, τὴν δ' ἀντι-
μηχανᾶσθαι, καὶ διαδρᾶσαν, τίκτειν. σὺν δὲ χή-

ρους

ρους μάχεσθαι πρὸς αὐτόν· τὸν δὲ ἡττηθέντα
ἀκολουθεῖν, ὀχευόμενον ὑπὸ μόνου τούτου. Τὰς μϛʹ
δὲ γεράνους σὺν ὕψει πέτεσθαι, ἵνα καθορῶσιν
μακράν. κἂν ἴδωσι νέφη καὶ συστροφὴν ἡσυχά-
ζειν· ἔχειν δὲ καὶ ἡγεμόνα· τὰς μὲν οὖν ἄλλας
καθεύδειν, ὑπὸ τὴν πτέρυγα τὰς κεφαλὰς
θείσας· τὸν δὲ ἡγεμόνα γυμνὴν ἔχειν προορώμε-
νον· κἂν αἴσθηται, σημαίνειν τοῖς ἄλλοις βοῶν-
τα. Τοὺς δὲ πελεκάνας τὰς θηλείας κόγχας μζʹ
καταπίνειν ἱστορεῖ· ἔπειτα ὀλίγας καταπέσσοντας
ἐν τῷ ἄνω τῆς κοιλίας, ἐξεμεῖν κεχηνυίας· εἶτα,
οὕτω τὰ κρέα ἐξαιροῦντας ἐσθίειν. Γυπὸς δὲ μηʹ
λέγεται ὑπό τινων, ὅτι οὐδεὶς ἑώρακε νεοττὸν,
οὐδὲ νεοττείαν. Διὸ καὶ Ἡρόδωρον τὸν Βρύσωνος
τοῦ σοφιστοῦ πατέρα, ἀπό τινος αὐτοὺς ἑτέρας
φάναι γῆς εἶναι μετεώρου· τίκτειν δ' οὖν ἔνια
πρὸς ἀβάτοις πέτραις. Λέγειν δέ τινας καὶ μθʹ
τὸ κινναμωμον ὄρνεον εἶναι, καὶ τὰ ἀρώματα
φέρειν, καὶ τὰς νεοττείας ἐκ τούτου ποιεῖσθαι. νεοτ-
τεύειν δ' ἐφ' ὑψηλῶν δένδρων καὶ ἀβάτων· τοὺς
δὲ ἐγχωρίους μόλιβδον τοῖς οἰστοῖς προσιθέντας
τοξεύειν, καὶ καταῤῥηγνύειν τὰς νεοττείας. Τὸν νʹ
δὲ κόκκυγα δοκεῖν ὑποβολιμαίους τοὺς νεοτ-
τοὺς ποιεῖν, διὰ τὸ δειλὸν εἶναι, καὶ μὴ δύ-
νασθαι ἀμύνειν· τίλλεσθαι γὰρ ὑπὸ τῶν ἐ-
λαχίστων· τὰ δὲ ὑπὸ ἐξάμηνα τῶν ὀρνέων,

ἐκβαλ-

ἐκβάλλειν τῶν ἑαυτῆς νεοττούς, διὰ τὸ καλὸν
να' εἶναι τὸν τοῦ κόκκυγος. Τὸν δὲ αἴγιθον αἶ-
γα θηλάζειν προσαπτόμενον· ὅθεν καὶ τὴν
προσηγορίαν εἰληφέναι· τὸν δὲ μαστὸν ὅθεν ἂν
ἑλκύσῃ, ἀποτυφλοῦσθαι. ἔστι δὲ χωλὸν τὸ ὄρ-
νεον· ὅθεν καὶ Καλλίμαχος ὁ ἐκ τῆς Αἰγύπτου,
περίτρανος εἶναι βουλόμενος ἔφησεν πρόσ-
πας ὑπὲρ ἄλλου τινὸς ὀρνέου, αἴγιθος ἀμφι-
γυήεις. Οὐ σώζεται οὖν αὐτῷ ὁ λόγος· ἔστι
γὰρ οὐκ ἀμφότερα χωλόν· τὸ δ' ἀμφιγυήεις
οὐ τοιοῦτον, ἀλλ' ὡς ἐπὶ τοῦ Ἡφαίστου εἴρη-
ται, ὅτ' ἂν ἑκατέρους ᾖ κεχωλωμένος· πε-
ρὶ μὲν οὖν τοῦ Καλλιμάχου διὰ τὸ ἀπίθα-
νβ' νον προήχθημεν εἰπεῖν. Ὁ δὲ Ἀριστο-
τέλης φησὶν, τῷ ἀετῷ γηράσκοντι, τὸ ῥύγχος
αὐξάνεσθαι καὶ γαμψοῦσθαι, καὶ τέλος ἀ-
ποθνήσκειν λιμῷ· τὴν φήνην δὲ τοὺς ἐκβληθέν-
τας τῶν νεοττῶν ὑπὸ τοῦ ἀετοῦ λαμβάνειν καὶ
ἐκτρέφειν· τὸν δὲ ἀετὸν ἐπαναγκάζειν τὰ τέ-
κνα ἔτι ψιλὰ ὄντα, πρὸς τὸν ἥλιον βλέπειν·
τὸ δὲ δακρῦον αὐτῶν, καὶ μὴ θέλον ἀντοφθαλ-
μεῖν, ἀποκτείνειν· τῶν ἰχθύων δὲ, τὸν ἁλιέα
καλούμενον βάτραχον, θηρεύειν τὰ ἰχθύ-
δια τοῖς ἀπὸ τῶν ὀφθαλμῶν ἀποκρεμαμέ-
νοις, ὧν τὸ μὲν μῆκός ἐστι τριχοειδὲς, ἐπ' ἄ-
κρου δὲ προσκείμενον ὥσπερ δέλεαρ στρογ-
γύλον.

ξύλοις· τοῦτ' οὖν κρύψαντα ἑαυτοὺς προ-
τείνειν. Τὴν δὲ νάρκην καθαλμίσασαν ἑαυ- νγ'
τὴν, τὰ μὴ δυνάμενα τῶν ἰχθύων ὅτ' ἂν συνεγ-
γὺς ᾖ, κολυμβῶντας, δὴ τῇ ναρκήσει τε συλλαμ-
βάνειν. Τὰς δὲ καλουμένας ἀλώπεκας, ὅτ' νδ'
ἂν αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκα-
σιν, ἀναδραμούσας ἄνωθεν τῆς ὁρμίας, ἀπο-
τρώγειν. Τὸν δὲ πολύποδα κατατίθεσθαι νε'
τροφὴν εἰς τὰς θαλάμας· καὶ ὅτ' ἂν τὰ χρήσιμα
ἀναλώσῃ, τὰ ἀχρεῖα ἐκβάλλειν· καὶ τὰ συνερχό-
μενα τῶν ἰχθυδίων ἐπὶ τὰ ἐκβεβλημένα θηρεύειν·
ποιεῖσθαι δὲ τὸ χρῶμα παραπλήσιον οἷς ἂν ἐγ-
γὺς ᾖ λίθοις· καὶ ὅταν φοβηθῇ δὲ τοῦτο ποιεῖν
αὐτόν. Ἰ δὲ καὶ τὸν ναυτίλον πολύποδα νϛ'
οἷς ποιεῖ παράδοξον· ἔχει μὲν γὰρ ὄστρακον, ὃ κα-
ταστρέψας ἀναφέρεται ἵνα ῥᾳδίως ἀνενεχθῇ
κενός· ἄνωθεν δὲ γενόμενος, μεταστρέ-
φειν· ἔχειν δὲ μεταξὺ τῶν πλεκτανῶν
ἐπί τι συνεχὲς, οἷον ὑμένα· καὶ τούτῳ
ὅτ' ἂν πνεύματος ᾖ, ὥσπερ ἱστίῳ χρῆσθαι·
ἀντὶ πηδαλίων δὲ παρακαθιέναι τῶν πλε-
κτανῶν. Τὰς δὲ μελίττας θυμιωμέ- νζ'
νας ὑπὸ τοῦ καπνοῦ, καὶ κακοπαθού-
σας, τότε μάλιστα μὲν ἐσθίειν· τὸν δὲ λοι-
πὸν χρόνον φείδεσθαι, ὡς τροφῆς χάριν ἀποτε-
θειμένας· τοῖς ἀπὸ τῶν δένδρων δὲ δακρύοις

δεῖ χρίειν τὸ σμῆνος, τῶν ἄλλων ἕνεκεν θηρίων·
ὅσας δ' ἂν ἀποκτείνωσιν αἱ χρησταὶ μέλιτται, πει-
ρᾶσθαι μὲν αὐτὰς ἔξω τοῦτο ποιεῖν· ἐὰν δὲ ἔσω τοῦ
σμήνους ἀποκτείνωσιν, ἐκφέρειν· τοὺς δὲ φῶρας
καλουμένους, κακουργεῖν ἐὰν λάθωσιν παρεισελ-
θόντες· εἰσέρχονται δὲ σπανίως. τηρεῖσθαι γὰρ αὐτούς,
καὶ ἐπὶ πασῶν φύλακας εἶναι· εἶναι δὲ αὐτὰς
τεταγμένας ἐφ' ἑκάστῳ τῶν ἔργων· καὶ τὰς μὲν
ἀνθοφορεῖν, τὰς δὲ κατορθοῦν τὰ κηρία· δυσχε-
ραίνειν δ' αὐτὰς καὶ τῇ δυσωδίᾳ τῆς τροφῆς, καὶ
τοῦ μύρου, καὶ τὸ περίττωμα δὲ ἔξω ἀφιέναι· καὶ
τὰς μὲν πρεσβυτέρας ἔσω ἐργάζεσθαι· σφῆκα
δ' ἂν λάβῃ τις τῶν σκληρῶν, καὶ τοῖς προτέροις
* ἀρόμεναι προπέτεσθαί φησιν τοὺς ἀκούοντας· τῶν
νη' δ' ἐχόντων τὸ κέντρον, οὐδένα. Τὸν δὲ μόνω-
τον γίνεσθαι μέν φασιν ἐν Παιονίᾳ ἐν τῷ ὄρει Μαρ-
σαίνῳ· ὀδόντας δὲ τοὺς ἄνωθεν οὐκ ἔχειν, ὥσπερ
βοῦν, οὐδ' ἄλλο τῶν δικεράτων οὐδέν· καὶ τἄλ-
λα προσεμφερὲς εἶναι τῷ ταύρῳ· διωκόμενον
δὲ προσαφοδεύειν πόῤῥωθεν. καὶ τὴν κόπρον
ὅταν πεφοβημένος τοῦτο ποιήσῃ καθικνεῖσθαι
οὕτως, ὥστε τὰς τρίχας ἀφαιρεῖν τῶν κτηνῶν·
ἂν δ' ἄνευ φόβου τοῦτο ποιήσῃ, οὐδὲν πάσχειν, οὐ-
δὲ βλάπτεσθαι· ὃ δ' ἂν ὀχεύσῃ καὶ ἔγκυον ποιή-
νθ' σῃ, τοῦτο πάλιν οὐχ ἅπτεσθαι. Τῷ δὲ Σκυ-
θῶν βασιλεῖ ἵππον φασὶ γενναῖον γενέσθαι· ταύ-

την

τῇ τὸν ἐξ αὐτῆς γεννηθέντα πῶλον προσάγειν
ἵνα ὀχεύσῃ· τὸν δ' οὐ θέλειν· ὡς δὲ περικαλύ-
ψαντες προσήγαγον τῇ ἵππῳ ἀναβῆναι· ἀπο-
καλυφθείσης δὲ ἰδόντα τὸ πρόσωπον, φυγεῖν, καὶ
κατακρημνίσαι ἑαυτόν. Τῶν θαλαττίων ξ'
δὲ ζώων ἡμερώτατον εἶναι δελφῖνα· καὶ γὰρ
πρὸς παῖδας ἐρωτικῶς ἔχειν, οἷον περὶ Τά-
ραντα καὶ Καρίαν καὶ ἄλλους τόπους πολλούς·
ἐν δὲ Καρίᾳ δεθέντος δελφῖνος καὶ τραύματα
λαβόντος πολλά, παραγενέσθαι πολλοὺς πρὸς
βοήθειαν εἰς τὸν λιμένα ἕως ἀφῆκεν ὁ ἁλιεύς.
Περὶ δὲ τοῦ τόκου τῶν λύκων, μυθικόν τι τελέως ξα'
διεξέρχεται, καὶ ὅμοιός ἐστι καὶ τῷ συνειδέναι·
φησὶν γὰρ αὐτοὺς ἅπαντας ἐν δεκαδύο τοῦ ἐνιαυ-
τοῦ τίκτειν· εἶναι δὲ τούτου αἴτιον, ὡς ὁ λόγος, ὅτι ἐν
ιβ' ἡμέραις τὴν Λητὼ παρεκόμισαν ἐξ Ὑπερβο-
ρέων εἰς Δῆλον, λύκαιναν φαινομένην. Τὴν ξβ'
δὲ γλαῦκα καὶ τὴν κορώνην πολεμίους εἶναι·
τὴν μὲν κορώνην τῆς γλαυκὸς μεθ' ἡμέραν, διὰ
τὸ μὴ βλέπειν τὴν γλαῦκα· τὴν δὲ γλαῦκα τῆς
κορώνης νύκτωρ, διὰ τὸ τὴν κορώνην μὴ ὁρᾶν·
διὸ καὶ κρατεῖν αὐτῶν, τὴν μὲν νύκτωρ, τὴν
δὲ μεθ' ἡμέραν. Καὶ τὸν ὄνον καὶ τὸν αἴγιθον ξγ'
πολεμεῖν ἑαυτοῖς· παριόντα γὰρ λύεσθαι εἰς τὰς
ἀκάνθας, διατρίβειν τοῦτο· καὶ ὅταν ὀγκήσηται,
ἐκβάλλειν τὰ ᾠὰ τῆς αἰγίθου, καὶ τοὺς νεοττοὺς

φοβουμένους, ἐκπίπτειν· τὸν δὲ διὰ τὴν βλα-
βὴν ταύτην, κολάπτειν τὰ ἕλκη αὐτοῦ ἐπι-
ξδʹ πετόμενον. Καὶ τὸν ἐσάλωνα δὲ πολέμιον
εἶναι τῇ ἀλώπεκι· τὸν δὲ κόρακα καὶ τὴν ἀ-
λώπεκα, φίλους· πολεμεῖν δὲ καὶ τὸν κό-
ρακα τῷ ἐσάλωνι· διὸ καὶ τυπτομένῃ τῇ ἀλώ-
ξεʹ πεκι βοηθεῖν. Τοὺς αἰπόλους δὲ φασὶ λέ-
γειν, ὅτι ὅταν τάχιστα ὁ ἥλιος τραπῇ, ἀν-
τιβλέπουσαι αὐτῷ αἱ αἶγες κατάκεινται.
ξςʹ Τούτῳ τι παραπλήσιον Λύκος ἱστορεῖ· φησὶ
γὰρ ἐν Λιβύῃ τὰ κτήνη τὸν μὲν ἄλλον χρόνον,
τὰ μὲν αὐτοῖς ἐναντία, τὰ δ' ὡς ἔτυχεν
κοιμᾶσθαι· τῇ δὲ νυκτὶ καθ' ἣν τοῦ κυνὸς ἀ-
νατολὴ γίνεται, πρὸς αὐτὸ τὸ ἄστρον ἐστραμ-
μένα· καὶ τούτῳ τεκμηρίῳ τῆς ἐπιτολῆς τοὺς
ἐκεῖ χρῆσθαι. Πλὴν ὅγε Ἀριστοτέλης χωρὶς
τῆς περὶ τοὺς βίους τῶν ζώων ἐντρεχείας,
καὶ τοιαῦτά τινα διεξέρχεται· πάνυ πολλὴν
ἐπιμέλειαν πεποιημένος ἐν τοῖς πλείστοις αὐ-
τῶν, καὶ οἷον ἔργῳ οὐ παρέργῳ χρώμενος
τῇ περὶ τούτων ἐξηγήσει· τὰ γοῦν πάν-
τα σχεδὸν ἑβδομήκοντα περὶ αὐτῶν κατα-
βέβληται βιβλία· καὶ πεπείραται ἐξηγη-
τικώτερον, ἢ ἱστορικώτερον ἐν ἑκάστοις ἀνα-
στρέφεσθαι, πρὸς τὴν ἡμετέραν ἐκλογὴν
ἐπιποιεῖν προῃρημένων αὐτῷ τὸν ξένον τὸ
πρά-

παραδόξοις ἔκτε τούτων, καὶ τῶν ἄλλως
ἐπιδραμεῖν. Λέγει γ᾽ οὖν τὰ χερ- ξζ'
σαῖα πάντα ἀναπνεῖν, ὅσα πνεύμονα ἔχειν·
σφῆκας δὲ καὶ μελίσσας οὐκ ἀναπνεῖν. Ὅσα ξη'
τε κύστιν ἔχει, πάντα καὶ κοιλίαν· ὅσα τε
κοιλίαν, πάντα καὶ κύστιν. Ἄναιμα δὲ ξθ'
εἶναι πολλὰ μὲν τῶν ζώων· καθόλου δὲ
ὅσα πλείω πόδας ἔχει τεττάρων. Ὅσα ο'
δὲ τρίχας ἔχει, πάντα ζωοτοκεῖν, οὐκ ἀν-
τιστρέφει δέ. Πάντα τὰ ζῷα κινεῖν τὴν οα'
κάτω σιαγόνα, πλὴν τοῦ ποταμίου κροκο-
δείλου· τοῦτον δὲ μόνον, τὴν ἄνω. Ἐν οβ'
Ἰλλυριοῖς εἶναι καὶ Παιονίᾳ μωνύχους. Μώ-
νυχον δὲ καὶ δίκερω οὐδὲν ἑωρᾶσθαι· μονοκέρω-
τά τε καὶ μωνυχαῖα τοὺς Ἰνδικὸν ὄνον· τοῦ-
τον δὲ καὶ ἀστράγαλον τῶν μωνύχων ἔχειν
ζώων. Τῆς δὲ γαλῆς ὀστοῦν εἶναι τὸ αἰ- ογ'
δοῖον. Τὸ δ᾽ ἄῤῥεν τοῦ θήλεος πλείους ἔχειν οδ'
ὀδόντας, καὶ ἐν ἀνθρώποις, καὶ τοῖς ἄλλοις
ζώοις. Τὴν δὲ τῶν ἵππων καρδίαν, ὀστοῦν, οε'
καὶ βοῶν δὲ τινῶν. Τῶν δὲ ἐλάφων τοὺς ος'
ἀχαΐνους καλουμένους, δοκεῖν ἐν τῇ κέρκῳ
τὴν χολὴν ἔχειν. Τοὺς δὲ ἰχθῦς οὐκ ἔχειν στό- οζ'
μαχον. διὸ καὶ τῶν μεγάλων ἑτέρων ὅταν διώ-
κωσιν ἐλάττονα, προπίπτειν τὴν κοιλίαν εἰς
τὸ στόμα. Τοὺς δὲ ὄφεις πλευρὰς ἔχειν λ'. οη'

καὶ ὄμματα δὲ αὐτοῦ ἐάν τις ἐκκεντήσῃ, καθά-
οθ' περ τὰ τῶν χελιδόνων, πάλιν γίνεσθαι. Τῶν
π' δ' ἰχθύων τὸν κληρο μόνον μὴ ῥυγχάζειν. Τοῦ
δὲ λέοντος οὕτως εἶναι τὰ ὀστᾶ στερεά, ὥστε πολ-
πα' λάκις κοπτομένων πῦρ ἐκλάμπειν. Ἐν Φρυ-
πβ' γίᾳ δὲ βοῦς εἶναι, οἳ κινοῦσι τὰ κέρατα. Τρί-
χας δὲ ἔχειν τῶν ζώων, ὅσα πεζὰ καὶ ατο καὶ
πγ' ζωοτόκα· φολίδας δὲ ὅσα πεζὰ καὶ ζωοτόκα. Ἤδη
δέ τισιν κάμνουσιν πολιὰς γίγνεσθαι· ὑγιασ-
πδ' θεῖσι δὲ πάλιν μελαίνας. Τὸν δὲ ἐν τῇ Χαλκι-
δικῇ ποταμὸν τὸν ἐπὶ Θράκης, τὸν καλούμενον
κοχρύνναν πάντα τὰ πρόβατα, ἔχειν τὰ γεν-
νώμενα μέλανα ποιεῖ· καὶ ἐν τῇ Ἀντανδρείᾳ δύο
ποταμοὺς εἶναι, ὧν τὸν μὲν λευκά, τὸν δὲ μέ-
λανα γεννᾶν· δοκεῖν δὲ καὶ τὸν Σκάμανδρον ξαν-
θὰ ποιεῖν· διὸ καὶ τὸν ποιητὴν ἀντὶ Σκαμάν-
δρου Ξάνθον αὐτὸν προσαγορεύειν· καὶ ἐν τῇ
Εὐβοίᾳ δὲ κατὰ τὴν Ἰταλικὴν τὴν συνορίζου-
σαν τῇ Χαλκίδι δύο ποταμοί, Κέρων καὶ Νη-
λεύς· ὧν αἱ γυναῖκες ἐὰν περὶ τὸ συλλαμβά-
νειν οὖσαι πίωσιν, ἐὰν μὲν ἀπὸ ποταμοῦ Κέρω-
νος, μέλανα τίκτουσιν· ἐὰν δὲ ἀπὸ τοῦ Νηλέως,
πε' λευκά. Τοὺς δὲ μύρμηκας φησὶν ὑπὸ ὀρι-
γάνου καὶ θείου περιπαττομένους, ἐκλείπειν τὰς
πϛ' μυρμηκιάς. Τὴν δ' ἔγχελυν, οὔτ' ἄῤῥεν εἶναι,
πζ' οὔτε θῆλυ. Τοὺς δὲ πέρδικας ἐὰν κατ' ἄνε-

μον

μον σῶσιν αἱ θήλειαι τῶν ἀῤῥένων, ἐγκύους γί-
νεσθαι. Τὸν δὲ καλούμενον ἀστέρα, οὕτω διά- πή
θερμον εἶναι, ὥσθ' ὅντινα ἂν λάβῃ τῶν ἰχθύων
παραχρῆμα δίεφθον ποιεῖν. Ἔχειν δὲ καὶ σπογ- πθ'
γίον αἴσθησιν· ἂν γὰρ μέλλοντος ἀποσπᾶν προ-
αίσθηται, συσπᾶσθαι καὶ ἔργον εἶναι ἀφε-
λεῖν· ταυτὸ δ' ἂν ἄνεμος ἢ κλύδων ᾖ, γίνεσθαι.
Εἶναι δὲ καὶ ἐν χιόνι ζῷα σκωληκοειδῆ δασέα. ϛ'
Ἐν Κύπρῳ γ' οὖν χαλκῖτις λίθος καίεται, καὶ
γίνεται θηρίον μικρῷ μεῖζον μυῶν· τὸ αὐτὸ δὲ,
καὶ ἐν τοῖς Καρυστίων θηείοις· ἀποθνήσκειν δὲ τὰ
μὲν τῆς χιόνος, τὰ δὲ τοῦ πυρὸς χωριζόμενα.
Τὴν δὲ σαλαμάνδραν σβεννύειν τὸ πῦρ. Περὶ ϛα'. ϛβ'
δὲ τὸν Ὕπανιν ποταμὸν, τὸν περὶ Βόσπορον
τὸν κιμμέριον, περὶ τροπὰς χειμερινὰς, κατα-
φέρεσθαί φασιν οἷον θυλάκους μείζους ῥαγῶν·
ἐφ' ὧν πηγνυμένων, ἐξέρχεσθαι ζῷον πτερωτὸν
τετράπουν· ζῆν δὲ μίαν ἡμέραν· ἴδιον δὲ καὶ τὸ
πτερωτὸν τετράπουν εἶναι. Τὰ δὲ σμήνη ἀπόλ- ϛγ'
λυσθαι, ἐάν τε ἡγεμόνες ὦσιν, ἐάν τε τοὐναν- *
τίον πολλοί. Τοὺς δὲ σκορπίους τοὺς χερσαίους ϛδ'
ὑπὸ τῶν τέκνων ἀποθνήσκειν· καὶ φαλάγγια
δὲ κτείνειν τὴν τεκοῦσαν· πολλάκις δὲ καὶ τὸν
ἄῤῥενα, συνεπωάζει γάρ. Ἐν δὲ τῷ σώματι ϛε'
τῶν ἀνθρώπων γίνεσθαι οἷον ἰόνθους μικρούς·
τούτους δὲ ἐάν τις κεντήσῃ ἐξέρχεσθαι φθεῖρας· καὶ

ἐάν τις ἐάσῃ, εἰς νόσημα ἃς τοῦτο ἐμπίπτει· ὥσπερ Ἀλκμαίωνι τῷ φυσικῷ, καὶ Φερεκύδει τῷ
ϛϛ' Συρίῳ. Ἴδιον δὲ καὶ τοῦτο νεκρῶν τινων, τοῦ μυελοῦ σαπέντος ἐκ τῆς ῥάχεως ὄφεις γίνεσθαι, ἐὰν πρὸ τοῦ τελευτᾶν ὄφεως τεθνηκότος ἑλκύσωσι τὴν ὀσμήν· καί τινι καὶ ἐπιγραμματίῳ περιπεπτώκαμεν Ἀρχελάου, οὗ καὶ πρότερον ἐμνήσθημεν, ὃς περὶ τῶν θαυμασίως καὶ τοῦτο καταγράφει, καί φησιν·

Πάντα δι' ἀλλήλων ὁ πολὺς σφαιρίζεται
αἰών,
Ἀνδρὸς γὰρ κοίλης ἐκ μυελοῦ ῥάχεως,
Δεινὸς γίνετ' ὄφις, νέκυος δ' ἔπι λοῖο σαπέντος,
Ὃς νέον ἐκ τούτου πνεῦμα λάβῃ τόρραος
Τεθνεότος, ζωὴν ἕλκων φύσιν· εἰ δὲ τόδ' ἐστὶν,
Οὐ θαῦμα βλαστεῖν τὸν διφυῆ κέκροπα.

Τοῦτο μὲν οὖν ἐν ἀκοῇ τε καὶ φορουμένῃ τινὶ καὶ πρὸ ὀλίγων τοῦ ἐπιγράμματος· ποιεῖ μαρ-
ϛζ' τυρίᾳ κεῖσθαι. Ὁ δὲ Ἀριστοτέλης ἐν κηρῷ φησὶ γίνεσθαι ζῶον, ὃ δὴ δοκεῖ ἐλάχιστον εἶναι, καὶ καλεῖσθαι ἀκάρεντον Διὸς ταμίον.
ϛη' Τὸν δὲ κροκόδειλον ἐξ ἐλαχίστου γίνεσθαι μέγιστον· τὸ μὲν γὰρ ᾠὸν μεῖζον γίνεσθαι χηνίου· αὐτὸν δὲ γίνεσθαι καὶ ἑπτὰ καὶ δεκαπήχυν.
ϛθ' Τῶν δὲ καράβων τοὺς πολύποδας κρατεῖν· οὐδὲ γὰρ

γὰρ ὑπὸ τῶν ὀστράκων πάσχειν· τῶν δὲ πολυ-
πόδων τοὺς γόγγρους· οὐδὲν γὰρ αὐτοῖς διὰ τὴν
λειότητα δύνασθαι τὸν πολύποδα χρῆσθαι· τὸν
δὲ γόγγρου κάραβον· οὐ γὰρ ὀλισθαίνειν αὐτὸν,
ἀλλὰ κατατέμνεσθαι διὰ τὴν τῶν ὀστράκων τρα-
χύτητα. Τὸν δὲ κεστρέα φησὶν, ὅτ' ἂν φο- ρ'
βηθῇ, τὴν κεφαλὴν κρύπτειν ὡς ὅλον τὸ σῶμα
κρύπτοντα. Τὰ γαμψὰ πάντ' εἶναι μιμη- ρα'
τικά. Ὑπό τινος λυπήσεως λυπεῖν πάντα ρβ'
τὰ δηχθέντα, πλὴν ἀνθρώπου. Τῶν ζῴων τὰ ργ'
μακρὰ ἄρσενα εἶναι· τὰ δ' εὔτροφα θήλεα. Καὶ ρδ'
ἐν Αἰγύπτῳ κατορύττοντας εἰς κόπρον, νεοττοὺς
ποιεῖν. Ἐν Συρακούσαις δὲ φιλοπότην τινὰ ἐς ρε'
τὴν γῆν κατορύξαι· καὶ ἐπιθέντα τὴν ψίαθον,
ἕως τούτου πίνειν συνεχῶς, ἕως ἐκκολαφθῶσι τὰ ᾠά·
ἤδη δὲ κείμενα ἐν ἀγγείοις λαγηνοῖς, ἐκτραφθῆ-
ναι καὶ προσελθεῖν. Τῶν δὲ χελιδόνων τοὺς νεοττοὺς ρϛ'
ἐάν τις ἐκτυφλώσῃ, πάλιν βλέπειν. Τὸν δὲ ρζ'
ἱέρακα τρία μὲν τίκτειν· αὐξανομένων δὲ τῶν νεοτ-
τῶν, ἐκλέγειν τὸν ἕνα· οὐ γὰρ δύνασθαι τρέφειν,
διὰ τὸ τὸν χρόνον τοῦτον τοὺς ὄνυχας αὐτοῦ
διαστρέφεσθαι, καὶ μηδὲν ἁρπάζειν· τὸν δὲ
πλανηθέντα τὴν φήνην ὑποβάλλεσθαι. Καὶ ρη'
τὸ ὅλον ἐπιεικῶς τοὺς γαμψώνυχας, ὅτ' ἂν θᾶτ-
τον οἱ νεοττοὶ δύνωνται πέτεσθαι ἐκβάλλειν, πλὴν τῆς
κορώνης· ταύτην δὲ καὶ πετομένους ἐπί τινα

χρόνον

ρθ' χρόνον ψωμίζειν. Κόκκυγος δὲ νεοττοὺς οὐδένα ἑωρακέναι. τίκτειν γὰρ αὐτὸν οὐκ ἐν τῇ ἰδίᾳ νεοττείᾳ, ἀλλ' εἰς τὰς τῶν ὀρνιθίων, ἢ εἰς τὰς τῶν φαβῶν, ἢ * ὑποδυσιδέων εἰσπετόμενον, ὅτ'
ρι' ἂν καταφύγῃ πρὸς ὑπάρχοντα ᾠά. Τοὺς δὲ πέρδικας ποιεῖσθαι σηκοὺς τῶν ᾠῶν, καὶ ἐπωάζειν καὶ τρέφειν ἑκατέρους· καὶ τοὺς νεοττοὺς ὅταν πρῶτον ἐξαγάγωσιν ὀχεύειν αὐτούς, τοὺς δὲ πρὸς ἀλλήλους μάχεσθαι, θωρακιζομένους τῷ ἰδίῳ δέρματι· ποιεῖν δὲ τραχύ, ἐκ παρασκευῆς τρίβοντας πρὸς δένδρα, καὶ τῷ πηλῷ μολύνοντας καὶ ξηραίνοντας· φασὶ δέ τινας καταγράφειν, ὡς αὐτὸς οὐ πεπειραμένος. ὅτι ἄν τις τὸν ἕτερον ὀφθαλμὸν ἐκκοπείη, ἀποθνήσκει ταχέως.
ρια' Αἶγας δὲ καὶ πρόβατα βορείοις μὲν ὀχευόμενα, ἀρσενοτοκεῖν ὡς τὸ πολύ· νοτίοις δὲ θηλυτοκεῖν· λευκὰ δὲ τὰ γεννώμενα γίνεσθαι, ἐὰν ὑπὸ τῇ γλώττῃ τοῦ κριοῦ λευκαὶ φλέβες ὦσιν· μέλανα δέ, ἐὰν μέλαιναι· ὡς αὔτως δὲ καὶ ἐπὶ τῶν πυῤῥῶν πρότερον ἢ ὀχεῖσθαι, τὸ
ριβ' ἁλυκὸν ὕδωρ πίνοντα. Τοὺς δὲ Λακωνικοὺς
ριγ' κύνας πονήσαντας, μᾶλλον ὀχεύειν. Θαυμασιωτάτην δ' εἶναι τῷ τάχει τὴν τῶν μυῶν γένεσιν· ἤδη γάρ ποτε τῆς θηλείας κυούσης, καὶ ἐν ἀπολειφθείσης ἐν ἀγγείῳ, φανῆναι μετ' οὐ πολὺν χρόνον, μῦς εἴκοσι καὶ ἑκατόν· τῆς δὲ

Περσικῆς

Περσικῆς ἔν τισιν ἀναγκαζομένων τῶν θηλειῶν
τῶν μυῶν, τὰ ἔμβρυα ἤδη κύοντα εὑρίσκεσθαι.
Ἀπείθου δὲ λέγεται καὶ ἀκανθίδος, αἷμα μό- ριδ'
λις μίγνυσθαι. Τῶν δὲ αἰγῶν ὅταν μία τις ριε'
λάβῃ τὸ ἄκρον τοῦ ὀρυγίου, ὅ ἐστιν δ' οἷον θρὶξ, τὰς
ἄλλας ἑστάναι οἷον μεμωρωμένας, ἐμβλεπούσας
εἰς ἐκείνην. Τὸ δὲ τῆς ἴκτιδος αἰδοῖον εἶναι ρις'
μὲν ὀστοῦν· δοκεῖ δὲ εἶναι φάρμακον στραγγου-
ρίας. Εὐνοῦχον δὲ φαλακρὸν, οὐδένα γίνεσθαι. ριζ'
Τὰς δ' ὑστερογενεῖς τρίχας τοὺς μὲν ἐκ παιδὸς ριη'
διαφθαρέντας, οὐκ ἴσχειν· τοὺς δὲ ὕστερον ἀποβάλ-
λειν, πλὴν τῆς ἥβης. Γυναῖκα τίκτειν ριθ'
πλεῖστα πέντε· καὶ μνημονεύεσθαι μίαν ἐν τέτταρ-
σιν τόκοις, εἴκοσι τετοκυῖαν, καὶ τὰ πλεῖστα τού-
των ἐκτραφέντων· ἐὰν δὲ κύουσα δαψιλεστέρῳ
χρήσηται, οὐκ ἔχοντα ὄνυχας γίνεσθαι τὰ παι-
δία. Εἶναι δὲ καὶ ἄνδρας καὶ γυναῖκας θη- ρκ'
λυγόνους καὶ ἀρρενογόνους· καὶ ὃ περὶ τοῦ Ἡρα-
κλέους ἱστόρηται· ἐν δύο γὰρ καὶ ἑβδομήκοντα
τέκνοις, μίαν αὐτὸν γεννῆσαι θυγατέρα. Γί- ρκα'
νεσθαι δέ τινας καὶ ἐκ χωλῶν καὶ ἐκ τυφλῶν,
ὁμοίως τυφλοὺς καὶ χωλούς· ἤδη δέ τινας καὶ
στίγματα ἐνηνοχέναι. Ἐν Ἤλιδι δὲ ἐκ τῆς ρκβ'
ὑπὸ τοῦ Αἰθίοπος μοιχευθείσης, θυγατέρα
μὲν γενέσθαι λευκήν· τὸν δὲ ἐκ ταύτης, Αἰθίο-
πα. Τὰ δὲ παιδία ἄχρι γίνηται τετταράκον- ρκγ'

τα ἡμε-

τὰ ἡμέρων, ἐγρηγορότα μὲν οὐ γελᾶν, οὐδὲ
ρκδ' δακρύειν· ὑπνοῦντα δὲ ἀμφότερα. Καὶ φυσιογνωμονεῖ δέ τινα τοιαῦτα· τοῖς τὸ μέτωπον μέγα ἔχουσιν, βραδυτέροις γίνεσθαι· μικρὸν δὲ εὐκινήτοις, ὡς ἐπὶ τὸ πολὺ προστιθεὶς ἐν
ρκε' ἑκάστοις, οἷς πλατὺ ἐκστατικοῖς· Ὀφρῦς εὐθείας μαλακοῦ ἤθους, πρὸς τὴν ῥῖνα κεκαμμένας στρυφνούς· πρὸς τοὺς κροτάφους
ρκϛ' μώκου καὶ εἴρωνος. Κανθοὺς κρεώδεις πονηρίας· ὦτα μέσα βελτίστου ἤθους· τὰ δὲ μεγάλα καὶ ἐπανεστηκότα, μωρολογίας καὶ
ρκζ' ἀδολεσχίας. Τῶν δὲ θηλέων ζώων, τροπικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν, ἵππον καὶ ἱππομανίαν ἰσχυρῶς· ὅθεν καὶ πρὸς τὴν βλασφημίαν ἀπὸ τούτου μεταφέρεσθαι, καὶ τὰς πρὸς τὰ ἀφροδίσια κεκινημένας, ὀνειδίζεσθαι. Φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν.

Ἄδων ταῖς ἁγναῖς παρθέναις γαμηλίων.
Λέκτρων * ἀστεμὴ βλεμμάτων * ῥεπβουλη· ὁ διαλιπὼν προσέθηκεν·

—Οὔ με μὴ λάθῃ φλέγων,
ὀφθαλμὸς ἥτις ἀνδρὸς ᾖ γεγευμένη.
Ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.

Πολλῶν δὲ ὄντων ὧν καταγέγραφεν Ἀριστοτέλης,

λης, ἐπὶ τοσοῦτον ἠδυνήθημεν ἡμεῖς ἀπὸ τοῦ παρόντος, τὰ μὲν ἐκλέξαι, τὰ δ' ἀναμνησθῆναι.

ρκη' Φησὶν δ' ὁ ἱστοριογράφος, Ἀρσάμην τὸν πέρσην εὐθὺς ἐκ γενετῆς ὀδόντας ἔχειν.

ρκθ' Μυρσίλος δὲ ὁ Λέσβιος, Λοκροὺς τοὺς ὀζόλας τῆς ἐπιθυμίας ἐπωνυμίας τετυχηκέναι· ὅτι τῆς χώρας τῆς αὐτῶν ὄζει, καὶ μάλιστα τοῦ Ταφίου καλουμένου ὄρους· τὸ ῥεῖν αὐτόθεν εἰς θάλασσαν ὥσπερ πύον· τετάφθαι δ' ἐν τῷ ὄρει τούτῳ Νέσσον τὸν Κένταυρον, ὃν Ἡρακλῆς ἀπέκτεινεν.

ρλ' Τὰς δὲ Λημνίας δυσόσμους γενέσθαι. Μηδείας ἀφικομένης μετ' Ἰάσονος, καὶ φάρμακα ἐμβαλλούσης εἰς τὴν νῆσον, κατὰ δή τινα χρόνον, καὶ μάλιστα ἐν ταύταις ταῖς ἡμέραις, ἐν αἷς ἱστοροῦσιν τὴν Μήδειαν παραγενέσθαι· δυσώδεις αὐτὰς οὕτως γίνεσθαι, ὥστε μηδένα προσιέναι.

ρλα' Θεόπομπος δέ φησιν ἱστοριογράφος τὸ καλούμενον ἀκόνιτον, γίνεσθαι μὲν περὶ Ἡράκλειαν τὴν ἐν τῷ Πόντῳ, ταῖς ὀνομαζομέναις ἀκόναις, ὅθεν καὶ τῆς προσηγορίας τετυχηκέναι· δυναμικὸν ἐναργῶς δ' ὄν, οὐκ ἐνεργεῖν οὐθὲν, ἂν πίῃ τις πήγανον ταύτην τὴν ἡμέραν· ὡς Ἀγαθάρχου τοῦ Τυράννου πολλοὺς ἀποκτείναντος φαρμάκῳ, καὶ πειρωμένου λανθάνειν, ὡς ἐγένετο συμφανὲς, τοὺς πλείστους Ἡρακλεωτῶν οὐ πρότερον ἐξιέναι, πρὸ τοῦ φαγεῖν πήγανον· γράφει δὲ καὶ τὴν πρόφασιν καὶ τὴν

ἀρχὴν,

ἀρχὴν, ἐξ ἧς ὤφθη σφόδρα μακρῶς· δύο καὶ
ρλβ' παρελείπομεν. Ὁ δὲ τοὺς Σαμιακοὺς ὅρους
συγγεγραφὼς, ἐπὶ τῶν πρώτων κληθέντων
μαθητῶν τῶν περὶ Ἡρόστρατον, φησὶν χελιδό-
ρλγ' να λευκὴν φανῆναι. Ἵππων δὲ ὁ Ῥηγῖνος πε-
ρὶ τῶν λεγομένων τόπων φθείρειν τὰ ἐμπίπτον-
τα τοιοῦτόν τι γράφει. φησὶν ἐν Ἀθήναις ἐπὶ
βασιλέως Ἐπαινέτου, ὀλυμπιάδος ἕκτης καὶ
τεσσαρακοστῆς, ἐν ᾗ Ἀρυτάμας Λάκων νικᾷ στάδιον,
τῆς Σικελίας ἐν Παλικίοις οἰκονομηθῆναι τόπον·
εἰς ὃν ὅστις ἂν εἰσέλθῃ, εἰ μὴ κατακλιθείη, ἀποθνήσ-
ρλδ' κει· εἰ δὲ περιπατοίη, οὐδὲν πάσχειν. Ἱστορεῖται
δὲ καὶ περὶ τὴν λευκὴν νῆσον μηδὲν ὑπεραίρειν
δύνασθαι τῶν ὀρνέων τῇ πτήσει τὸν τοῦ Ἀχιλλέως
ρλε' ναόν. Καὶ πολλαχοῦ δὲ ἔοικεν, τό, τε τῶν βα-
ράθρων καλουμένων, καὶ Χαρωνίων εἶναι γένος·
οἷον ὅτε Κίμβρος καλούμενος, ὁ περὶ Φρυγίαν
βόθυνος ὡς Εὔδοξός φησιν, καὶ τὸ ἐν Λάτμῳ
ρλς' ὄρυγμα. Καὶ τὰ τῇ σελήνῃ συναυξανόμενά
τε καὶ συμφθίνοντα· οἷον τὰ τῶν μυῶν, τὰ ἥπα-
τα· λέγεται γὰρ καὶ συμπληροῦσθαι καὶ συμ-
φθίνειν καὶ συναύξεσθαι τὴν νῦν· διὸ καὶ παρὰ
πολλοῖς ἐν παροιμίας εἰρῆσθαι μέρει, ἐπὶ τῶν
ρλζ' θαυμαστῶν τεράτων, μυῶν ἥπατα. Καὶ τὰ τῶν
θαλαττίων δὲ ἐχίνων ᾠά, ταὐτὸ πάσχειν· ἴδιον
δὲ καὶ τὸ πάντας αὐτοὺς ἔχειν πέντε, καὶ ἴσους

δημ-

δι᾽ ἀλλήλων διεστηκότα· καὶ περὶ τὴν περιφέ-
ρειαν τοῦ ὀστράκου κύκλον, ὥστε ἴσας τὰς ἐκ τοῦ
κέντρου προσαπίπτειν αὐτῇ. Φασὶν δὲ καὶ περὶ ρλη'
τὸν τῆς Ἰταλίας πορθμὸν φθίνειν καὶ πλη-
ρεῦσθαι κατὰ τὴν μείωσιν τῆς σελήνης καὶ αὔξη-
σιν. Ἑλλανικὸς δ᾽ ὁ Λέσβιος, ἐν Θήβαις ταῖς ρλθ'
Αἰγυπτίαις ἱστορεῖ σπήλαιον ἐν ἄστει, καθ᾽ ὃ εἶναι
μὲν, τὰς μὲν τριακάδας νηνεμίαν, τὰς δ᾽ ἄλ-
λας ἡμέρας, ἄνεμον. Δόξαι δ᾽ ἀνεξέταστόν τι ρμ'
ἔχειν καὶ δυσπαρατήρητον ἡ ἐκλογὴ, καθάπερ
ὁ Εὔριπος ταῖς ἑβδόμαις οὐ στρέφεται· καὶ
ὅτι οἱ μύρμηκες ταῖς νουμηνίαις ἀναπαύονται.
Οἱ Δελφοὶ δὲ λέγουσιν, ὅτι ἐν τῷ Παρνασσῷ ρμα'
κατά τινας χρόνους, τὸ κωρύκιον φαίνεσθαι χρυ-
σοειδές· διὸ καὶ τὸν Φιλόξενον, οὐδεὶς ἀνήκοος
λαβεῖν εἴποι, λέγοντα οὕτως·

Αὐτοὶ γὰρ διὰ Παρνασσοῦ χρυσορόφους
Νυμφέων εἴσω θαλάμων.

Ἐν δὲ τοῖς Φύλλοις λέγεται, τὰς ποίμνας διὰ ρμβ'
πέμπτης ἡμέρας ποτίζεσθαι. Τούτου δὲ τερατω- ρμγ'
δέστερον ἐν Ζακύνθῳ· ὑπὸ γὰρ τοὺς ἐτησίας χαί-
νοντες ἑστήκασιν οἱ τράγοι πρὸς τὸν βορέαν· καὶ
τοῦτο πράττοντες οὐ προσδέονται ὕδατος,
οὐδὲ πίνουσιν. Πεποίηται δέ τινα καὶ ὁ Κυ- ρμδ'
ρηναῖος Καλλίμαχος ἐκλογὴν τῶν παραδόξων·
ἧς ἀναγράφομεν ἅ ποτε ἡμῖν ἐφαίνετο εἶναι

ἀκοῆς ἄξια, φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἐν τῇ κατὰ ἱερὸν ὄρος θαλάττῃ τῆς Θρᾴκης, ἐπιπολάζει κατά τινας χρόνους ἄσφαλτος· ἡ δὲ κατὰ χελιδόνας, ὅτι ἐπὶ πολὺν τόπον ἔχει γλυκείας
ρμέ πηγάς. Θεόφραστος δὲ τὰς περὶ τὰς Αἰόλου νήσους ἀναζεῖν οὕτως ἐπὶ δύο πλέθρων τὸ μῆκος, ὥστε μὴ δυνατὸν εἶναι διὰ τὴν
ρμς' θερμασίαν ἐμβαίνειν εἰς ταύτην. Ἐκ δὲ τοῦ κατὰ Δῆλον νῆσον τὴν Καρχηδονίων τοὺς κολυμβῶντας ἀναφέρειν ἐν δύο ὀργυίας χαλκόν, ὑπὸ οὗ καὶ τοὺς ἐν Φαινεῷ τοὺς ὑπὸ Ἡρακλέως ἀνατεθέν-
ρλζ' τας ἀνδριάντας εἰργάσθαι. Μεγασθένην δὲ τὸν τὰ Ἰνδικὰ γεγραφότα, ἱστορεῖ ἐν τῇ κατὰ τὴν Ἰνδικὴν θαλάττῃ, δένδρεα φύεσθαι.
ρμή Περὶ δὲ τῶν ποταμῶν καὶ κρηνῶν, Λύκον μὲν φησιν λέγειν· ὅτι ὁ μὲν Καμίσκος θαλάττης ῥεούσης ῥεῖ· ὁ δὲ Κύπαιρος καὶ Κριμίσιος, ὅτι τὰ μὲν ἐπὶ πολλῆς τῶν ὑδάτων εἰσὶ ψυχροί· τὰ δὲ κάτω, θερμοί· τὸν δ' ἡμέραν ἐκ μιᾶς πηγῆς ἀναζόμενον, τὸ μὲν ἁλυκὸν τῶν ῥείθρων ἔχειν,
ρμθ' τὸ δὲ πότιμον. Τίμαιον δὲ τῶν ἐν Ἰταλίᾳ ποταμῶν ἱστορεῖν, Κρᾶθιν ξανθίζειν τὰς τρίχας.
ρν' Πολύκριτον δὲ καταγεγραφέναι· τὸν μὲν ἐν Σόλοις, οὐ ψευδῶς ὠνομάσθαι λίπαριν, ἀλλ' οὕτως ἀπολιπαίνειν, ὥστε μὴ προσδεῖσθαι ἀλείμματος· τὸν δὲ ἐν Παμφυλίᾳ μούχθιν ἀπο-

λιθοῦν,

λιθοῦ, ἐάν τις ἐμβάλῃ στοιβὴν ἢ λίθον. Πε- ρνα'
ρὶ δὲ τὴν τῶν Ἀγρίων Θρᾳκῶν χώραν, φησὶν
ποταμὸν προσαγορευόμενον πόντον, καταφέ-
ρειν λίθους ἀνθρακώδεις· τούτους δὲ κάεσθαι μὲν,
πᾶν δὲ τοὐναντίον πάσχειν τοῖς ἐκ τῶν ξύλων
ἀνθρακευομένοις· ὑπὸ μὲν γὰρ τῶν ῥιπίδων
πνευματιζομένους, σβέννυσθαι· ὑπὸ δὲ ὕδατι
ῥαινομένους, βέλτιον κάεσθαι: τὴν δ᾽ ὀσμὴν αὐ-
τῶν οὐδὲν ὑπομένειν ἑρπετόν. Τὴν δ᾽ ἐν Λυ- ρνβ'
σοις κρήνην καθάπερ παρὰ τοῖς Λαμψακηνοῖς,
ἔχειν ἐν ἑαυτῇ μῦς ὁμοίως τοῖς κατοικιδίοις· ἱστο-
ρεῖν δὲ ταῦτα Θεόπομπον. Εὔδοξον δὲ τὴν ἐν ρνγ'
Ἄλῳ ὀρρίουσαν, δ᾽ ἣν ἀλφὸν ποιεῖν. Λύκον δὲ ρνδ'
τὸν Ῥηγῖνον λέγειν, τὴν μὲν ἐν τῇ Σικανῶν χώ-
ρᾳ φέρειν ὄξος, ᾧπερ ὡθὶ τῶν ἐδεσμάτων τινὰς
χρῶνται. τὴν δὲ ἐν κυσιτράτῳ οἷον ἐλαίῳ ῥεῖν·
τοῦτο δ᾽ ἔν τε τοῖς λύχνοις καίεσθαι, καὶ δύνα-
σθαι φύματα καὶ ψώραν ἰᾶσθαι προσαγο-
ρευόμενον κυσιτραῖον: πλησίον δὲ εἶναι· τὴν
ἀπὸ μὲν Ἀρκτούρου μέχρι πλειάδος ἀναβάλλου-
σαν, οὐθενὸς χεῖρον τῶν ἄλλων ὑδάτων· ἀπὸ δὲ
πλειάδος μέχρι πρὸς Ἀρκτοῦρον· τὰς μὲν ἡμέ-
ρας καπνὸν ἀναφέρουσαν, καὶ πνέουσαν θερ-
μὸν, ἐν δὲ τῇ νυκτὶ φλογὸς πληρουμένην. Ἀρέ- ρνε'
θουσαν δὲ τὴν ἐν Συρακούσαις, ὥσπερ οἱ λοι-
ποὶ φασὶν, ὁ Πίνδαρος· τὴν πηγὴν ἔχειν, ἐκ τῆς

κατὰ τὴν Ἠλίαν Ἀλφειοῦ· διὸ καὶ ταῖς Ὀλυμ-
πικαῖς ἡμέραις ὅταν ἐν τῷ ποταμῷ ἀποπλύ-
νουσιν τῶν θυμάτων τὰς κοιλίας, οὐ καθα-
ρὰν εἶναι τὴν ἐν τῇ Σικελίᾳ κρήνην, ἀλλὰ ῥεῖν
ὄνθῳ· φησὶν δὲ καὶ φιάλην ποτ᾽ εἰς τὸν Ἀλφειὸν
ἐμβληθεῖσαν ἐν ἐκείνῃ φανῆναι· τοῦτο δ᾽ ἱστορεῖ
ρνς' καὶ Τίμαιος. Θεόπομπον δέ φησιν γρά-
φειν, τὴν μὲν ἐν κιγχρώψωσιν τοῖς Θραξὶν τὸν
ρνζ' ἀπογευσάμενον τελευτᾶν εὐθύς. Ἐν Σκο-
τούσῃ δ᾽ εἶναι κρήνην ἰδίαν οὐ μόνον ἀνθρώ-
πων ἕλκη, ἀλλὰ καὶ βοσκημάτων ὑγιάζειν δυ-
ναμένην· κἂν ξύλον δὲ σχίσας ἢ θραύσας ἐμβά-
ρνη' λῃς, συμφύειν. Ἐκ δὲ τῆς περὶ Χαονίαν, ὅτ᾽
ρνθ' ἂν ἀφεψηθῇ τὸ ὕδωρ, ἅλας γίνεσθαι. Τῶν δ᾽
ἐν Ἄμμωνι κρηνῶν, λέγειν Ἀριστοτέλη, ὅτι τὴν τοῦ
ἡλίου γε νομιζομένην, μέσων μὲν νυκτῶν καὶ
μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δεί-
λης, καθαπερεὶ κρύσταλλον, ἡ δ᾽ ἄλλη διότι κα-
ταβαίνοντος μὲν ἡλίου, πηγνύει· ἐπὶ δυσμαῖς
ρξ' δ᾽ ἰόντος, ἵσταται. Κτησίαν δὲ τὴν ἐν Αἰθιο-
πίᾳ τὸ μὲν ὕδωρ ἔχειν ἐρυθρόν, ὥσπερεὶ κινναβά-
ρει· τοὺς δ᾽ ἀπ᾽ αὐτῆς πίνοντας, παράφρονας γί-
γνεσθαι· τοῦτο δ᾽ ἱστορεῖ καὶ Φίλων, ὁ τὰ Αἰθιο-
ρξα' πικὰ συγγραψάμενος. Τὴν δὲ ἐν τοῖς Ἰν-
δικοῖς κρήνην * ἵλαν οὐδὲ γὰρ κοῦφα τὰ τούτων
βληθέντων αιαν ἐπιμένειν, ἀλλὰ πάντα κα-
θέλκειν·

θέλειν· καὶ ταῦτα δὲ πλείους εἰρήκασιν, καὶ
ἐπὶ πλειόνων ὑδάτων. Εὔδοξον δ' ἱστορεῖν, ρξβ'
τὴν μὲν ἐν Καρχηδόνι κροκοδείλους ἐν αὐτῇ μι-
κροὺς ὁμοίους τοῖς ἐν Αἰγύπτῳ. Περὶ δὲ τὴν Ἀ- ρξγ'
θαμανίαν ἱερὸν εἶναι νυμφῶν, ἐν ᾧ τὴν κρήνην
τὸ μὲν ὕδωρ ἔχειν, ἄφυκτον ὡς ψυχρόν· ὃ δ' ἂν
ὑπὲρ θῇς αὐτοῦ, θερμαίνειν· ἐὰν δέ τις φρύγα-
νον, ἢ ἄλλο τι τῶν τοιούτων προσενέγκῃ, μετὰ
φλογὸς καίεσθαι. Κατὰ δὲ τὴν Ἀραβίαν ἐν ρξδ'
πόλει Λευκοθέᾳ, Ἀμώμητόν φησιν γράφειν
τὸν πραγματευθέντα τὸν ἐκ Μέμφεως ἀνά-
πλουν, εἰς τὴν καλουμένην Ἴσιδος κρήνην,
ἄν τις οἴνου ἐπιχέῃ κοτύλην, διότι γίγνεται τὸ
ποτὸν εὔκρατον. Περὶ δὲ λιμνῶν Κτησίαν μὲν ρξε'
ἱστορεῖν λέγεται, τῶν ἐν Ἰνδοῖς λιμνῶν, τὴν μὲν
τὰ εἰς αὐτὴν ἀφιέμενα καταδέχεσθαι, καθά-
περ τὴν ἐν Σικελίᾳ καὶ Μήδοις, πλὴν χρυ-
σίου καὶ σιδήρου καὶ χαλκοῦ· καὶ ἄν τι ἐμπέσῃ
πλάγιον, ὀρθὸν ἐκβάλλειν· ἰᾶσθαι δὲ τὴν καλου-
μένην λευκήν· τῇ δ' ἑτέρᾳ κατὰ τὰς ἰδιαζού-
σας ἡμέρας ἐπιπολάζειν ἔλαιον. Ζηνόφι- ρξς'
λον δὲ ἐν μὲν τῇ πλησίον Ἰόππῃ οὐ μόνον ἐπιδέ-
χεσθαι πᾶν βάρος, ἀλλὰ καὶ παρὰ τρίτον
ἔτος φέρειν ὑγρὰν ἄσφαλτον· ὅταν δὲ γίγνη-
ται τοῦτο παρὰ τοῖς ἐντὸς τριάκοντα στα-
δίων οἰκοῦσιν, μειοῦσθαι χαλκώματα. Τὴν ρξζ'

ἐν τοῖς Σαρμάταις λίμνην Ἡρακλείδην γρά-
φειν, ὅτι οὐδὲν τῶν ὀρνίθων ὑπεραίρειν· τὸ δὲ
προσελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾷν· ὃ δὴ καὶ
περὶ τὴν ἄορνέτιν δοκεῖ γίγνεσθαι καὶ κατί-
ρξη' σχυκεν ἡ φήμη παρὰ τοῖς πλείστοις. Ὁ δὲ Τί-
μαιος τοῦτο μὲν ψεῦδος ἡγεῖται εἶναι· τὰ πλεῖ-
στα γὰρ κατὰ τύχην τῶν ἐθισμένων περὶ αὐτὴν
διαιτᾶσθαι· ἐκεῖνο μέν τοι λέγειν· διότι συνδέν-
δρων τόπων ἐπικειμένων αὐτῇ, καὶ πολλῶν
κλάδων καὶ φύλλων διὰ τὰ πνεύματα τῶν
μὲν κατακλωμένων, τῶν δὲ ἀποσειομένων οὐθὲν
ἐστιν ἰδεῖν ἐπ' αὐτῇ ἐφεστηκὸς, ἀλλὰ διαμένειν κα-
ρξθ' θαράν. Ἐκ δὲ τῆς ἐν Ζακύνθῳ λίμνης φησὶν
Εὔδοξον ἱστορεῖν, ὅτι ἀναφέρεται πίσσα, καίτοι
περιεχούσης αὐτῆς ἰχθῦς· ὅτι δ' ἂν ἐμβάλλῃς εἰς
ταύτην ἐπὶ θαλάττης φαίνεσθαι, τεττάρων ὄν-
ρο' των ἀνὰ μέσον σταδίων. Λύκον δὲ περὶ τὴν ἐν
Μύλαις τῆς Σικελίας, δένδρα φύεσθαι· διὰ μέ-
σης δ' αὐτοῦ ἀναθεῖν ὕδωρ, τὸ μὲν ψυχρόν, τὸ δὲ
ροα' τοὐναντίον. Φανίαν δὲ τὴν τῶν Πυράκων λί-
ροβ' μνην, ὅταν ἀναξηρανθῇ, κάεσθαι. Καὶ τὴν Ἀσ-
κανίαν πότιμον οὖσαν, τὸ προσενεχθὲν αὐτῇ,
πλύνειν ἄνευ ῥύμματος· ἐὰν ἐαθῇ δὲ ἐν αὐτῇ
ρογ' πλείω χρόνον διαπίπτειν αὐτόματον. Περὶ δὲ
τοῦ ἐν Κιτίῳ φασὶν Νικαγόραν, ὅτι ἀνιμηθείσης
ροδ' ἐπ' ὀλίγον τῆς γῆς, ἅλες εὑρίσκονται. Περὶ

τῶν αὐτῶν ὑδάτων, Θεόφραστόν φασι, τὸ καλούμενον στυγὸς ὕδωρ λέγειν, ὅτι ἐστὶν ἐν Φοινίῳ, στάζει δ' ἔκ τινος πετριδίου· τοὺς δὲ βουλομένους αὐτοῦ ὑδρεύεσθαι, σπόγγοις πρὸς ξύλοις δεδεμένοις, λαμβάνειν· διακόπτειν δὲ πάντα τὰ ἀγγεῖα, πλὴν τῶν κερατίνων· τὸν δὲ ἀπογευσάμενον, τελευτᾶν.

ροε Ἐν δὲ τῇ Λεοντίνων ἱστορεῖν Λύκον τοὺς ὀνομαζομένους, ἀναζεῖν μὲν, ὡς θερμότατον τῶν ἑψομένων· τὰς δὲ πηγὰς ἔχειν ψυχρὰς· τῶν δὲ πλησιαζόντων αὐτοῖς, τὸ μὲν τῶν ὀρνίθων γένος, ἀποθνήσκειν εὐθὺς· τοὺς δὲ ἀνθρώπους μετὰ τρίτην ἡμέραν.

ρος Ὅμοιον δὲ τούτῳ καὶ τὸ περὶ τὸν Κώων Χύτρινον γίνεσθαι· καὶ γὰρ ἐκεῖνον ἀτμὸν μὲν ἐκβάλλειν, καὶ ποιεῖν ἔμφασιν τόξιον· τὰ δὲ καθειμένα καθ' ὑπερβολὴν ψύχειν.

ροζ Εἶναι δὲ παρὰ τοῖς Κώοις καὶ ἄλλο τι ῥευμάτιον, ὃ πάντας τοὺς ὀχετοὺς ὅθεν διαῤῥεῖν, λίθους πεποίηκεν· τοῦτο δὲ καὶ Εὔδοξος καὶ Καλλίμαχος παραλείπουσιν, ὅτι ἐκ τοῦδε τοῦ ὕδατος οἱ Κῷοι λίθους λαβόμενοι, ᾠκοδόμησαν τὸ θέατρον· οὕτως ἰσχυρῶς ἀπολιθοῦται πᾶν γένος.

ροη Λέγειν δὲ τὸν Εὔδοξον, καὶ περὶ τῶν ἐν τῇ Μυλοπόλει φρεάτων, ὅτι παραπλήσιόν τι τῷ Νείλῳ πάσχουσι· τοῦ μὲν γὰρ θέρους, ὑπὲρ τὰ χείλη πληροῦσθαι· τοῦ δὲ χειμῶνος οὕτως ἐκλείπειν, ὥστε μηδὲ βάψαι ῥᾴδιον εἶναι.

ροθ' Καὶ περὶ τοῦ κατὰ τὴν Κρήτην ὕδατος, οὗ οἱ ὑπερ-
καθίζοντες ὅταν ὑετὸς ᾖ, διατελοῦσιν ἄβροχοι·
παραδεδόσθαι δὲ τοῖς Κρησὶν, ἀπ' ἐκείνου λούεσθαι
ρπ' τὴν Εὐρώπην ἀπὸ τῆς τοῦ Διὸς μίξεως. Ἐν δὲ Λυ-
κήταις Θεόπομπον φάσκειν τί εἶναι ὕδωρ ὀξὺ·
τοὺς δὲ ἐκ τούτου πίνοντας, ὥσπερ ἐπὶ τῶν οἴνων
ἀλλοιοῦσθαι, καὶ τοῦθ' ὑπὸ πλειόνων μαρτυ-
ρπα' ρεῖται. Τὸ δ' ἐκ τῆς πέτρας Ἀρμενίων ἐκ-
πίπτον Κτησίαν ἱστορεῖν· ὅτι συμβάλλει ἰχθῦς μέ-
ρπβ' λανας, ὥστε τὸν ἀπογευσάμενον τελευτᾷν. Πε-
ρὶ δὲ πυρὸς Κτησίαν φησὶν ἱστορεῖν, ὅτι περὶ τὴν
τῶν Φασηλιτῶν χώραν ἐπὶ τοῦ τῆς Χιμαίρας
ὄρους ἐστὶ τὸ καλούμενον ἀθάνατον πῦρ· τοῦτο
δὲ ἐὰν μὲν εἰς ὕδωρ ἐμβάλῃς, καίεσθαι βέλτιον·
ἐὰν δὲ φορτίον ἐπιβαλὼν πήξῃ τὶς, σβέννυσθαι.
ρπγ' Παραπλήσιον δὲ τούτῳ ὁρᾶται γινόμενον ἐπὶ
ἁλός· ἐδωρήσατο γὰρ ἡμῖν Σικελὸς ξένος τοιοῦ-
τον· ὃ ἐν μὲν τῷ πυρὶ ἐτήκετο, ἐν δὲ τῷ ὕδατι,
ρπδ' ἤλλετο. Περὶ δὲ λίθων τὸν αὐτὸν τοῦτον λέγειν,
τὸν παρὰ τοῖς Βοττιαίοις ἐν Θράκῃ γινόμενον· ὅταν
ὁ ἥλιος προσβάλλῃ πῦρ ἐξ αὐτοῦ ἐκθυμιᾶσθαι·
ἐκεῖνος δ' ἵνα παρέχῃ, γνοὺς μὲν τὴν τῶν ἀνθρά-
κων χροιὰν διαμένοντας ἀφθάρτους· κἂν σβέ-
σας τὶς πάλιν ἐπικεχειρήκασιν τὴν αὐτὴν ἐ-
ρπε' νέργειαν συντελεῖν. Περὶ δὲ τούτων τῶν ἀκαν-
θείσας Ἀριστοτέλην φάσκειν, περὶ τὴν Ἐρύθη-

ναν

ναι εὑρίσκεσθαι διαποικίλους τὴν χρόαν, ἐξ οὗ πλῆκτρα γίνεσθαι. Τίμωνα δὲ ὁ Κιθαρῳδὸς ἔχειν καὶ ἐπιδεικνύειν πολλοῖς, φάσκοντα αὐτῷ, τὸν διδάσκαλον Ἀριστοκλέα δεδωρῆσθαι· εἶναι δ᾽ αὐτῶν τὴν ἀφὴν ἐν τῇ χρείᾳ σκληράν.

ρπϛ' Περὶ δὲ Θεσπρωτοὺς ἐκ τῆς γῆς αἰθάλικας ὀρύττεσθαι δυνάμεις καίεσθαι, Θεόπομπόν φησιν καταγράφειν.

ρπζ' Φανίαν δὲ κατά τινας τόπους τῆς Λέσβου, καὶ περὶ τὴν νεανδρείδων· τὰς βώλους πρὸς τὰς τῶν ὄψεων καθηγήσεις γίνεσθαι καὶ χρησίμας· καὶ εἰς ὕδωρ ἐμβληθείσας οὔτε καταδύνειν, οὔτε κατατήκεσθαι· ὑπὸ τούτου δὲ γένος πεποιῆσθαι, καὶ εἶναι ταύτην πλίνθος, ἡ λεγομένη ἐπιπλεῖν.

ρπη' Περὶ δὲ τῶν τοιούτων Λύκον μὲν ἐν τῇ Διομηδείᾳ τῇ νήσῳ φησὶν ἱστορεῖν τοὺς ἐρωδιοὺς ὑπὸ μὲν τῶν Μήδων ὅτ᾽ ἂν παραβάλλῃ τις εἰς τοὺς τόπους, οὐ μόνον ψαυομένους ὑπομένειν, ἀλλὰ καὶ προσπετομένους εἰς τοὺς κόλπους ἐνδύεσθαι καὶ σαίνειν φιλοφρόνως· λέγεσθαι δέ τι τοιοῦτον ὑπὸ τῶν ἐγχωρίων, ὡς τῶν τοῦ Διομήδους ἑταίρων, εἰς τὴν τῶν ὀρνέων τούτων φύσιν μετασχηματισθέντων.

ρπθ' Τοὺς δὲ περὶ τὴν Ἀδρίαν οἰκοῦντας Ἐνετοὺς Θεόπομπον φάσκειν κατὰ τοὺς σπόρου καιροὺς, τοῖς κολοιοῖς ἀπο-

στέλλειν δῶρα, ταῦτα δ' εἶναι ψαιστὰ καὶ μάζας· προσθέντας δὲ τοὺς ταῦτα κομίζοντας ἀναχωρεῖν· τῶν δὲ ὀρνέων τὸ μὲν πλῆθος ἐν τοῖς ὁρίοις μένειν τῆς χώρας συνηθροισμένοις· δύο δ' ἢ τρεῖς πρὸς πάντας καὶ καταμαθόντας, ἀφίπτασθαι πάλιν καθάπερ εἴ τινας πρέσβεις ἢ κατασκόπους· ἐὰν μὲν οὖν τὸ πλῆ *

Reliqua deſiderantur.

ΜΆΡΚΟΥ

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙ-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον α΄.

ΠΑΡΑ` τοῦ πάππου Οὐήρου, τὸ καλόηθες, καὶ ἀόργητον. Παρὰ τῆς δόξης καὶ μνήμης τῆς περὶ τοῦ γεννήσαντος, τὸ αἰδῆμον καὶ ἀρρενικόν. Παρὰ τῆς μητρὸς, τὸ θεοσεβὲς, καὶ μεταδοτικὸν· καὶ ἐφεκτικὸν, οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης, ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν, καὶ πόῤῥω τῆς πλουσιακῆς διαγωγῆς. Παρὰ τοῦ προπάππου, τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι, καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ᾽ οἶκον χρήσασθαι· καὶ τὸ γνῶναι ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν. Παρὰ τοῦ τροφέως, τὸ μήτε πρασιανὸς μήτε βενετιανὸς, μήτε πάλμουλάριος ἢ σκουτάριος γενέσθαι. καὶ τὸ φερέπονον, καὶ ὀλιγοδεὲς, καὶ αὐτουργικὸν, καὶ τὸ ἀπολύπραγμον, καὶ τὸ δυσπρόσδεκτον διαβολῆς. Παρὰ Διογνήτου τὸ ἀκενόσπουδον· καὶ τὸ ἀπιστητικὸν τοῖς ὑπὸ τῶν τερατευομένων καὶ γοήτων, περὶ ἐπῳδῶν, καὶ περὶ δαιμόνων ἀποπομπῆς καὶ τῶν τοιούτων λεγομένοις. καὶ τὸ μὴ

ὀρτυ-

ὀρτυγοτροφεῖν, μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι. καὶ τὸ ἀνέχεσθαι παῤῥησίας, καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ· καὶ τὸ ἀκοῦσαι, πρῶτον μὲν Βακχίου, εἶτα Τανδάσιδος. καὶ Μαρκιανοῦ. καὶ τὸ γράψαι διαλόγους ἐν παιδί. καὶ τὸ σκίμποδος καὶ δορᾶς ἐπιθυμῆσαι, καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα. Παρὰ Ῥουστίκου τὸ λαβεῖν φαντασίαν τοῦ χρῄζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους. καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικὸν, μηδὲ τοῦ συγγράφειν περὶ τῶν θεωρημάτων, ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι, ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν, ἢ τὸν εὐεργετικὸν ἄνδρα ἐπιδείκνυσθαι. καὶ τὸ ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς, καὶ ἀστειολογίας. καὶ τὸ μὴ ἐν στολῇ κατ᾽ οἶκον περιπατεῖν, μηδὲ τὰ τοιαῦτα ποιεῖν. καὶ τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ᾽ αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρί μου γραφέν. καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως καὶ εὐδιαλέκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ἐθελήσωσι διακεῖσθαι. καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν, καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς. μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι. καὶ τὸ ἐντυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκε. Παρὰ Ἀπολλωνίου, τὸ ἐλεύθερον

καὶ ἀναμφιβόλως ἀκύρωτον. καὶ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν, μηδὲ ἐπ᾽ ὀλίγον, ἢ πρὸς τὸν λόγον. καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις. καὶ τὸ ἐπὶ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς, ὅτι δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι, καὶ ἀνειμένος. καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν. καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιστον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν, καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα. καὶ τὸ μαθεῖν πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων, μήτε ἐξηττωμένον διὰ ταῦτα μήτε ἀναισθήτως παραπέμποντα. Παρὰ Σέξτου, τὸ εὐμενές. καὶ τὸ παράδειγμα τοῦ οἴκου τοῦ πατρονομουμένου, καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν, καὶ τὸ σεμνὸν ἀπλάστως, καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς, καὶ τὸ ἀνεκτικὸν τῶν ἰδιωτῶν, καὶ τὸ ἀθεώρητον τῶν οἰομένων, καὶ τὸ πρὸς πάντας εὐάρμοστον. ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι. καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικὸν τῶν εἰς βίον ἀναγκαίων δογμάτων· καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς, ἢ ἄλλου τινὸς πάθους παρασχεῖν. ἀλλὰ ἅμα μὲν ἀπαθέστατον

εἶναι,

εἶναι, ἅμα δὲ φιλοστοργότατον. καὶ τὸ εὔφημον, καὶ τὸ ἀψοφητί. καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως. Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ τὸ ἀνεπίπληκτον, καὶ τὸ μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον, ἢ σόλοικόν τι, ἢ ἀπηχὲς προσενεγκαμένων, ἀλλ' ἐπιδεξίως αὐτὸ μόνον ἐκεῖνο, ὃ ἔδει εἰρῆσθαι, προφέρεσθαι, ἐν τρόπῳ ἀποκρίσεως, ἢ συνεπιμαρτυρήσεως, ἢ συνδιαλήψεως περὶ αὐτοῦ τοῦ πράγματος, οὐχὶ περὶ τοῦ ῥήματος, ἢ δι' ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς παρυπομνήσεως. Παρὰ Φρόντωνος τὸ ἐπιστῆσαι οἷα ἡ τυραννικὴ βασκανία, καὶ ποικιλία, καὶ ὑπόκρισις. καὶ ὅτι ὡς ἐπίπαν οἱ καλούμενοι οὗτοι παρ' ἡμῖν εὐπατρίδαι, ἀστοργότεροί πως εἰσί. Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ, τὸ μὴ πολλάκις, μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα, ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι· μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα. Παρὰ Κατούλου, τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιώμενος· ἀλλὰ πειρᾶσθαι καὶ ἀποκαθιστάναι ἐπὶ τὸ σύνηθες. καὶ τὸ περὶ τῶν διδασκάλων ἐκθύμως εὔφημον, οἷα τὰ περὶ Δομιτίου καὶ Ἀθηνοδότου ἀπομνημονευόμενα.

καὶ τὸ

καὶ τὸ περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν. Παρὰ τοῦ ἀδελφοῦ μου Σευήρου, τὸ φιλοίκειον, καὶ φιλάληθες, καὶ φιλοδίκαιον. καὶ τὸ δι' αὐτὸν γνῶναι Θρασέαν, Ἑλβίδιον, Κάτωνα, Δίωνα, Βροῦτον. καὶ φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου, κατ' ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης, καὶ βασιλείας τιμώσης πάντων μάλιστα τὴν ἐλευθερίαν τῶν ἀρχομένων· καὶ ἔτι παρ' αὐτοῦ τὸ ἀμελὲς, καὶ ὁμότονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας, καὶ τὸ εὐποιητικὸν, καὶ τὸ εὐμετάδοτον ἐκτενῶς, καὶ τὸ εὔελπι, καὶ τὸ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι, καὶ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ' αὐτοῦ τυγχάνοντας, καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ τί θέλει, ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι. Παράκλησις Μαξίμου, τὸ κρατεῖν ἑαυτοῦ, καὶ κατὰ μηδὲν περίφορον εἶναι. καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι, καὶ ἐν ταῖς νόσοις, καὶ τὸ εὔκρατον τοῦ ἤθους, καὶ μειλίχιον, καὶ γεραρὸν, καὶ οὐ σχετλίως κατεργαστικὸν τῶν προκειμένων. καὶ τὸ πάντας αὐτῷ πιστεύειν, περὶ ὧν λέγοι ὅτι οὕτως φρονεῖ· καὶ περὶ ὧν πράττοι, ὅτι οὐ κακῶς πράττῃ. καὶ τὸ ἀθαύμαστον καὶ ἀνέκπληκτον, καὶ μηδαμοῦ ἐπειγόμενον, ἢ ὀκνοῦν, ἢ ἀμηχανοῦν, ἢ κατηφὲς ἢ προσεσηρὸς, ἢ πάλιν θυμούμενον, ἢ ὑφορώμενον, καὶ τὸ εὐεργετικὸν, καὶ τὸ συγγνωμονικὸν, καὶ τὸ ἀψευδὲς

καὶ

καὶ ἀδιαστρόφου μᾶλλον ἢ διορθουμένου φαντασίαν παρέχειν, καὶ ὅτι οὔτε ᾠήθη ἄν ποτέ τις ὑπερορᾶσθαι ὑπ' αὐτοῦ, οὔτε ὑπέμεινεν ἂν κρείττονα αὐτοῦ αὐτὸν ὑπολαβεῖν. καὶ τὸ εὐχαριεντίζεσθαι. Παρὰ τοῦ πατρὸς τὸ ἥμερον καὶ μενετικὸν ἀσαλεύτως ἐπὶ τῶν ἐξητασμένως κριθέντων. καὶ τὸ ἀκενόδοξον περὶ τὰς δοκούσας τιμάς, καὶ τὸ φιλόπονον καὶ ἐνδελεχές. καὶ τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν. καὶ τὸ ἀπαρατρέπτως εἰς τὸ κατ' ἀξίαν ἀπονεμητικὸν ἑκάστῳ. καὶ τὸ ἔμπειρον, ποῦ μὲν χρεία ἐντάσεως, ποῦ δὲ ἀνέσεως. καὶ τὸ παῦσαι τὰ περὶ τοὺς ἔρωτας τῶν μειρακίων. καὶ ἡ κοινονοημοσύνη· καὶ τὸ ἐφεῖσθαι τοῖς φίλοις μήτε συνδειπνεῖν αὐτῷ πάντως, μήτε συναποδημεῖν ἐπάναγκες· ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ὑπὸ τῶν διὰ χρείας τινὰς ἀπολειφθέντων. καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις, καὶ ἐπίμονον, ἀλλ' οὐ τό· προαπέστη τῆς ἐρεύνης ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις. καὶ τὸ διατηρητικὸν τῶν φίλων, καὶ μηδαμοῦ ἁψίκορον, μηδὲ ἐπιμανές· καὶ τὸ αὔταρκες ἐν παντί, καὶ τὸ φαιδρὸν, καὶ τὸ πόρρωθεν προνοητικὸν, καὶ τῶν ἐλαχίστων προδιοικητικὸν ἀτραγῴδως. καὶ τὸ τὰς ἐπιβοήσεις, καὶ πᾶσαν κολακείαν ἐπ' αὐτοῦ σταλῆναι· καὶ τὸ φυλακτικὸν

κτικὸν

κτικὸν ἀεὶ τῶν ἀναγκαίων τῇ ἀρχῇ, καὶ ταμιευτικὸν τῆς χορηγίας, καὶ ὑπομενετικὸν τοῦ ἐπί τινι τῶν τοιούτων τινῶν καταιτιάσεως. καὶ τὸ μήτε περὶ τοὺς θεοὺς δεισιδαίμον, μήτε περὶ ἀνθρώπους δημοκοπικὸν ἢ ἀρεσκευτικὸν ἢ ὀχλοχαρές, ἀλλὰ νῆφον ἐν πᾶσι, καὶ βέβαιον, καὶ μηδαμοῦ ἀπειρόκαλον, μηδὲ καινοτόμον. καὶ τὸ τοῖς εἰς εὐμάρειαν βίου φέρουσί τι, ὧν ἡ τύχη παρεῖχε δαψιλῶν χρηστικὸν ἀτύφως ἅμα, καὶ ἀπροφασίστως, ὥστε παρόντων μὲν ἀνεπιτηδεύτως ἅπτεσθαι, ἀπόντων δὲ μὴ δεῖσθαι· καὶ τὸ μήτε ἄν τινα εἰπεῖν μήτε ὅτι σοφιστὴς, μήτε ὅτι οἰκογενὴς οὐερνάκλος, μήτε ὅτι σχολαστικὸς, ἀλλ᾽ ὅτι ἀνὴρ πέπειρος, τέλειος, ἀκολάκευτος, προεστάναι δυνάμενος καὶ τῶν ἑαυτοῦ καὶ ἄλλων. πρὸς τούτοις δὲ καὶ τὸ τιμητικὸν τῶν ἀληθῶς φιλοσοφούντων, τοῖς δὲ ἄλλοις οὐκ ἐξονειδιστικόν. ἔτι δὲ τὸ εὐόμιλον, καὶ εὔχαρι οὐ κατακόρως. καὶ τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως· οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ᾽ ὥστε διὰ τὴν ἰδίαν προσοχὴν, εἰς ὀλίγιστα ἰατρικῶν χρῄζειν ἢ φαρμάκων καὶ ἐπιθεμάτων ἐκτός. μάλιστα δὲ τὸ παραχωρητικὸν ἀβασκάνως τοῖς δύναμίν τινα κεκτημένοις· οἷον τὴν φραστικὴν, ἢ τὴν τὴν ἐξ ἱστορίας νόμων, ἢ ἐθῶν ἢ ἄλλων τινῶν

λ πραγμά-

πραγμάτων. καὶ συσπουδαστικὸν αὐτοῖς, ἵνα ἕκαστοι κατὰ τὰ ἴδια προτερήματα εὐδοκιμῶσι. Πάντα δὲ κατὰ τὰ πάτρια πράσσων, οὐδ' αὐτὸ τοῦτο ἐπιτηδεύων φαίνεσθαι τὸ τὰ πάτρια φυλάσσειν. ἔτι δὲ τὸ μὴ εὐμετακίνητον καὶ ῥιπταστικὸν, ἀλλὰ καὶ τόποις καὶ πράγμασι τοῖς αὐτοῖς ἐνδιατριπτικόν. καὶ τὸ μετὰ τοὺς παροξυσμοὺς τῆς κεφαλαλγίας, νεαρὸν εὐθὺς καὶ ἀκμαῖον πρὸς τὰ συνήθη ἔργα. καὶ τὸ μὴ εἶναι αὐτῷ πολλὰ τὰ ἀπόρρητα, ἀλλὰ ὀλίγιστα καὶ σπανιώτατα, καὶ ταῦτα ὑπὲρ τῶν κοινῶν μόνον. καὶ τὸ ἔμφρον καὶ μεμετρημένον ἔν τε θεωριῶν ἐπιτελέσει, καὶ ἔργων κατασκευαῖς, καὶ διανομαῖς, καὶ τοῖς τοιούτοις ἀνθρώποις, πρὸς αὐτὸ δὲ τὸ δέον πραχθῆναι δεδορκότος, οὐ πρὸς τὴν ἐπὶ τοῖς πραχθεῖσι εὐδοξίαν. οὐκ ἐν ἀωρεὶ λούστης. οὐχὶ φιλοικοδόμος, οὐ περὶ τὰς ἐδωδὰς ἐπινοητής. οὐ περὶ ἐσθήτων ὑφὰς καὶ χρόας, οὐ περὶ σωμάτων ὥρας. ἡ ἀπὸ χρείας στολὴ, ἀνάγουσα ἀπὸ τῆς κάτω ἐπαύλεως, καὶ τῶν ἐν Λανουβίῳ τὰ πολλά. τῷ τελώνῃ ἐν Τούσκλοις παραιτουμένῳ ὡς ἐχρήσατο, καὶ πᾶς ὁ τοιοῦτος τρόπος. οὐδὲν ἀπηνὲς, οὐδὲ μὴν ἀδυσώπητον, οὐδὲ λάβρον, οὐδὲ ὡς ἄν τινα εἰπεῖν ποτε ἕως ἱδρῶτος· ἀλλὰ πάντα διειλημμένα λελογίσθαι ὡς ἐπὶ σχολῆς, ἀταράχως, τεταγμένως, ἐρρωμένως,

νως,

νως, συμφώνως ἑαυτοῖς. Ἐφαρμόσειε δ' ἂν
αὐτῷ τὸ περὶ τοῦ Σωκράτους μνημονευόμε-
νον, ὅτι καὶ ἀπέχεσθαι καὶ ἀπολαύειν ἐ-
δύνατο τούτων, ὧν πολλοὶ πρός τε τὰς ἀπο-
χὰς ἀσθενῶς, καὶ πρὸς τὰς ἀπολαύσεις ἐν-
δοτικῶς ἔχουσι. Τὸ δὲ ἰσχύειν καὶ ἐπικαρτε-
ρεῖν καὶ ἐννήφειν ἑκατέρῳ, ἀνδρός ἐστιν ἄρτιον
καὶ ἀήττητον ψυχὴν ἔχοντος, οἷον ἐν τῇ νόσῳ
τῇ Μαξίμου. Παρὰ τῶν θεῶν, τὸ ἀγαθοὺς πάπ-
πους, ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφήν,
ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους,
συγγενεῖς φίλους, σχεδὸν ἅπαντας ἔχειν. καὶ
ὅτι περὶ οὐδένα αὐτῶν προέπεσον πλημμελῆ-
σαί τι, καίτοι διάθεσιν ἔχων τοιαύτην, ἀφ'
ἧς, εἰ ἔτυχε, κἂν ἔπραξά τι τοιοῦτο. τῶν θεῶν
δὲ εὐποιΐα τὸ μηδεμίαν συνδρομὴν πραγμάτων
γενέσθαι, ἥτις ἔμελλέ με ἐλέγξειν. καὶ τὸ μὴ πλεῖον
ἐντραφῆναι παρὰ τῇ παλλακῇ τοῦ πάπ-
που. καὶ τὸ τὴν ὥραν διασῶσαι. καὶ τὸ μὴ
πρὸ ὥρας ἀνδρωθῆναι, ἀλλ' ἔτι καὶ ἐπιλα-
βεῖν τοῦ χρόνου. τὸ ἄρχοντι καὶ πατρὶ ὑπο-
ταχθῆναι, ὃς ἔμελλε πάντα τὸν τῦφον ἀφαι-
ρήσειν μου, καὶ εἰς ἔννοιαν ἄξειν τοῦ ὅ, τι δυνα-
τόν ἐστιν ἐν αὐλῇ βιοῦντα, μήτε δορυφορήσεων
χρῄζειν, μήτε ἐσθήτων σημειωτῶν, μήτε λαμ-
πάδων καὶ ἀνδριάντων τοιῶνδέ τινων καὶ

τοῦ ὁμοίου κόμπου· ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν, καὶ μὴ διὰ τοῦτο ταπεινότερον ἢ ῥᾳθυμότερον ἔχειν πρὸς τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα. Τὸ ἀδελφοῦ τοιούτου τυχεῖν, δυναμένου μὲν διὰ ἤθους ἐπεγεῖραί με πρὸς ἐπιμέλειαν ἐμαυτοῦ· ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με. τὸ παιδία μοι ἀφυῆ μὴ γενέσθαι, μηδὲ κατὰ τὸ σωμάτιον διάστροφα. Τὸ μὴ ἐπὶ πλέον με προκόψαι ἐν ῥητορικῇ καὶ ποιητικῇ καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι, ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ᾐσθόμην ἐμαυτὸν εὐόδως προϊόντα. Τὸ φθάσαι, τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ἐπιθυμεῖν, καὶ μὴ ἀναβαλέσθαι ἐλπίδι, τοῦ μὴ ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν. Τὸ γνῶναι Ἀπολλώνιον Ῥούστικον, Μάξιμον. Τὸ φαντασθῆναι περὶ τοῦ κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις, οἷός τίς ἐστι. ὥστε ὅσον ἐπὶ τοῖς θεοῖς, καὶ ταῖς ἐκεῖθεν διαδόσεσι καὶ συλλήψεσι, καὶ ἐπινοίαις, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἢ ἀπολείπεσθαι ἔτι τούτου παρὰ τὴν ἐμὴν αἰτίαν, καὶ παρὰ τὸ μὴ διατηρεῖν τὰς ἐκ τῶν θεῶν ὑπομνήσεις, καὶ μόνον οὐχὶ διδασκαλίας. Τὸ ἀντισχεῖν μοι τὸ σῶμα ἐπὶ τοσοῦτον ἐν τοιούτῳ βίῳ. Τὸ μήτε Βενεδίκτης ἅψασθαι, μήτε Θεοδότου· ἀλλὰ καὶ ὕστερον ἐν ἐρωτικοῖς

τικοῖς πάθεσι γενόμενον ὑγιᾶναι. Τὸ χαλεπήναντα πολλάκις Ῥουστίκῳ, μηδὲν πλέον πρᾶξαι, ἐφ' ᾧ ἂν μετέγνων. Τὸ μέλλουσαν νέαν τελευτᾶν τὴν τεκοῦσαν ὅμως οἰκῆσαι μετ' ἐμοῦ τὰ τελευταῖα ἔτη. Τὸ ὁσάκις ἐβουλήθην ἐπικουρῆσαί τινι πενομένῳ, ἢ εἰς ἄλλο τι χρῄζοντι, μηδέποτε ἀκοῦσαί με ὅτι οὐκ ἔστι μοι χρήματα ὅθεν γένηται. καὶ τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν ὡς παρ' ἑτέρου μεταλαβεῖν, μὴ συμπεσεῖν. Τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, οὑτωσὶ μὲν πειθήνιον, οὕτω δὲ φιλόστοργον, οὕτω δὲ ἀφελῆ. Τὸ ἐπιτηδείων τροφέων εἰς τὰ παιδία εὐπορῆσαι. Τὸ δι' ὀνειράτων βοηθήματα δοθῆναι ἄλλα τε καὶ ὡς μὴ πτύειν αἷμα, καὶ μὴ ἰλιγγιᾶν· καὶ τοῦτο ἐν Καιήτῃ ὥσπερ χρήσει. ὅπως τε ἐπεθύμησα * φιλοσοφίας, μὴ ἐμπεσεῖν εἴς τινα σοφιστὴν μηδὲ ἀποκαθῆσαι ἐπὶ τοὺς συγγραφεῖς, ἢ συλλογισμοὺς ἀναλύειν, ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι. Πάντα γὰρ ταῦτα θεῶν βοηθῶν καὶ τύχης δεῖται·

Τὰ ἐν Κουάδοις πρὸς τῷ Γρανούᾳ. α.

Ἕωθεν προλέγειν ἑαυτῷ, συντεύξομαι περιέργῳ, ἀχαρίστῳ, ὑβριστῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ. Πάντα ταῦτα συμβέβηκεν ἐκείνοις παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν. Ἐγὼ δὲ τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγα-

θοῦ, ὅτι καλὸν, καὶ τοῦ κακοῦ, ὅτι αἰσχρόν, καὶ τὴν αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν ὅτι μοι συγγενὴς, οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ, ἀλλὰ νοῦ, καὶ θείας ἀπομοίρας μέτοχος, οὔτε βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι· αἰσχρῷ γάρ με οὐδεὶς περιβάλλει, οὔτε ὀργίζεσθαι τῷ συγγενεῖ δύναμαι, οὔτε ἀπέχθεσθαι αὐτῷ. γεγόναμεν γὰρ πρὸς συνεργίαν ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα, ὡς οἱ στοῖχοι τῶν ἄνω καὶ τῶν κάτω ὀδόντων. Τὸ οὖν ἀντιπράσσειν ἀλλήλοις παρὰ φύσιν. ἀντιπρακτικὸν δὲ τὸ ἀγανακτεῖν καὶ ἀποστρέφεσθαι. Ὅτι ποτε τοῦτό εἰμι, σαρκία ἐστὶ, καὶ πνευμάτιον, καὶ τὸ ἡγεμονικόν. Ἄφες τὰ βιβλία, μηκέτι σπῶ. Οὐ δέδοται. ἀλλ' ὡς ἤδη ἀποθνήσκων τῶν μὲν σαρκίων καταφρόνησον λύθρος καὶ ὀστάρια, καὶ κροκύφαντον, ἐκ νεύρων, φλεβίων, ἀρτηριῶν πλεγμάτιον. Θέασαι δὲ καὶ τὸ πνεῦμα ὁποῖόν τι ἐστίν· ἄνεμος, οὐδὲ ἀεὶ τὸ αὐτὸ, ἀλλὰ πάσης ὥρας ἐξεμούμενον, καὶ πάλιν ῥοφούμενον. τρίτον οὖν ἐστὶ τὸ ἡγεμονικόν. ὧδε ἐπινοήθητι. Γέρων εἶ· μηκέτι τοῦτο ἐάσῃς δουλεῦσαι· μηκέτι καθ' ὁρμὴν ἀκοινώνητον νευροσπαστηθῆναι· μηκέτι τὸ εἱμαρμένον, ἢ παρὸν δυσχερᾶναι, ἢ μέλλον ὑποδύεσθαι. Τὰ τῶν θεῶν προνοίας μεστά. τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως ἢ συγκλώσεως, καὶ ἐπιπλοκῆς τῶν

προ-

προνοίᾳ διοικουμένων πάντα ἐκεῖθεν ῥεῖ. πρόσεστι δὲ τὸ ἀναγκαῖον, καὶ τὸ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ. Παντὶ δὲ φύσεως μέρει ἀγαθόν, ὃ φέρει ἡ τοῦ ὅλου φύσις, καὶ ὃ ἐκείνης ἐστὶ σωστικόν. σώζουσι δὲ κόσμον ὥσπερ αἱ τῶν στοιχείων οὕτως καὶ αἱ τῶν συγκριμάτων μεταβολαί. ταῦτά σοι ἀρκείτω, ἀεὶ δόγματα ἔστω. τὴν δὲ τῶν βιβλίων δίψαν ῥῖψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς, ἀλλὰ ἵλεως ἀληθῶς, καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον β.

ΜΕΜΝΗΣΟ ἐκ πόσου ταῦτα ἀναβάλλῃ, καὶ ὁποσάκις προθεσμίαν λαβὼν παρὰ τῶν θεῶν οὐ χρᾷ αὐταῖς. δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι τίνος κόσμου μέρος εἶ, καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόρροια ὑπέστης, καὶ ὅτι ὅρος ἐστί σοι περιγεγραμμένος τοῦ χρόνου· ᾧ ἐὰν εἰς τὸ μὴ ἀπαιθριάσαι χρήσῃ, οἰχήσεται, καὶ οἰχήσῃ, καὶ αὖθις οὐκ ἐξέσται. Πάσης ὥρας φρόντιζε στιβαρῶς ὡς Ῥωμαῖος καὶ ἄρρην τὸ ἐν χερσὶ μετὰ τῆς ἀκριβοῦς καὶ

ἀπλάστου σεμνότητος, καὶ φιλοστοργίας, καὶ ἐλευθερίας, καὶ δικαιότητος πράσσειν, καὶ σχολὴν σαυτῷ ἀπὸ πασῶν τῶν ἄλλων φαντασιῶν ποριζεῖν. ποριεῖς δὲ ἂν ὡς ἐσχάτην τοῦ βίου ἑκάστην πρᾶξιν ἐνεργῇς ἀπηλλαγμένην πάσης εἰκαιότητος καὶ ἐμπαθοῦς ἀποστροφῆς ἀπὸ τοῦ αἱροῦντος λόγου, καὶ ὑποκρίσεως, καὶ φιλαυτίας. καὶ δυσαρεστήσεως πρὸς τὰ συμμεμοιραμένα. ὁρᾷς πῶς ὀλίγα ἐστὶν ὧν κρατήσας τις, δύναται εὔρουν καὶ θεουδῆ βιῶσαι βίον; καὶ γὰρ οἱ θεοὶ πλέον οὐδὲν ἀπαιτήσουσι παρὰ τοῦ ταῦτα φυλάσσοντος. Ὕβριζε ὕβριζε αὐτὴν ὦ ψυχή, τοῦ δὲ τιμῆσαι σεαυτὴν οὐκέτι καιρὸν ἕξεις. εἷς γὰρ ὁ βίος ἑκάστῳ, οὗτος δέ σοι σχεδὸν διήνυσται, μὴ αἰδουμένῃ σεαυτὴν, ἀλλ' ἐν ταῖς ἄλλων ψυχαῖς τιθεμένῃ τὴν σὴν εὐμοιρίαν. Περισπᾷ τί σε τὰ ἔξωθεν ἐμπίπτοντα; καὶ σχολὴν πάρεχε σεαυτῷ τοῦ προσμανθάνειν ἀγαθόν τι, καὶ παῦσαι ῥεμβόμενος. Ἤδη δὲ καὶ τὴν ἑτέραν περιφορὰν φυλακτέον. ληροῦσι γὰρ καὶ διὰ πράξεων, οἱ κεκμηκότες τῷ βίῳ, καὶ μὴ ἔχοντες σκοπὸν, ἐφ' ὃν πᾶσαν ὁρμὴν καὶ καθάπαξ φαντασίαν ἀπευθύνουσιν. Παρὰ μὲν τὸ μὴ ἐφιστάνειν τί ἐν τῇ ἄλλου ψυχῇ γίνεται, οὐ ῥᾳδίως τις ὤφθη κακοδαιμονῶν. τοὺς δὲ τοῖς τῆς ἰδίας ψυχῆς κινήμασι μὴ παρακολουθοῦντας, ἀνάγκη

ἀνάγκην κακοδαιμονεῖν. Τούτων ἀεὶ δεῖ μεμνῆσθαι. τίς ἡ τῶν ὅλων φύσις, καὶ τίς ἡ ἐμὴ, καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα, καὶ ὁποῖόν τι μέρος, ὁποίου τοῦ ὅλου οὖσα. καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τε ἀεὶ καὶ λέγειν.

Φιλοσόφως ὁ Θεόφραστος ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων, ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίνειε φησί· βαρύτερα εἶναι τὰ κατ' ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν. ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ λεληθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος· ὁ δὲ κατ' ἐπιθυμίαν ἁμαρτάνων, ὑφ' ἡδονῆς ἡττώμενος ἀκολαστότερός πως φαίνεται, καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. ὀρθῶς οὖν καὶ φιλοσοφίας ἀξίως ἔφη, μείζονος ἐγκλήματος ἔχεσθαι τὸ μεθ' ἡδονῆς ἁμαρτανόμενον, ἤπερ τὸ μετὰ λύπης. ὅλως τε ὁ μὲν προηδικημένῳ μᾶλλον ἔοικε, καὶ διὰ λύπην ἠναγκασμένῳ θυμωθῆναι. ὁ δὲ, αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται, φορόμενος ἐπὶ τὸ πρᾶξαί τινα κατ' ἐπιθυμίαν. Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα ποιεῖν καὶ διανοεῖσθαι. Τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοί εἰσιν, οὐδὲν δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλοιεν. ἢ δὲ εἴ τι οὐκ εἰσὶν, ἢ οὐ μέλει αὐτοῖς

τῶν ἀνθρωπείων· τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν, ἢ προνοίας κενῷ. Ἀλλὰ καὶ εἰσὶ, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων. καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς, ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ἔθεντο. τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν καὶ τοῦτο ἂν προείδοντο, ἵνα ἐπῇ πάντῃ τὸ μὴ περιπίπτειν αὐτῷ. ὃ δὲ χεῖρον μὴ ποιεῖ ἄνθρωπον, πῶς ἂν τοῦτο βίον ἀνθρώπου χείρω ποιήσειεν; οὔτε δὲ κατ' ἄγνοιαν, οὔτε εἰδυῖα μὲν, μὴ δυναμένη δὲ προφυλάξασθαι, ἢ διορθώσασθαι ταῦτα, ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν. οὔτε ἂν τηλικοῦτον ἥμαρτεν ἤτοι παρ' ἀδυναμίαν, ἢ παρ' ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖς τε ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. Θάνατος δέ γε καὶ ζωὴ, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονὴ, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς, οὔτε καλὰ ὄντα, οὔτε αἰσχρὰ, οὔτ' ἄρ' ἀγαθὰ, οὔτε κακά ἐστι. Πῶς πάντα ταχέως ἐναφανίζεται, τῷ μὲν κόσμῳ αὐτὰ τὰ σώματα, τῷ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν, οἷά ἐστι τὰ αἰσθητὰ πάντα, καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα, ἢ τῷ πόνῳ φοβοῦντα, ἢ τῷ τύφῳ διαβεβοημένα, πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα, ὡς ῥυπαρὰ, καὶ εὔφθαρτα, καὶ νεκρά. νοερᾶς

δυνά-

δυνάμεως, ἐφιστάναι τί εἰσιν οὗτοι ὧν αἱ ὑπολήψεις καὶ αἱ φωναὶ, τὴν εὐδοξίαν. Τί ἐστι * τὸ ἀποθανεῖν, καὶ ὅτι ἐάν τις αὐτὸ μόνον ἴδῃ, καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι ἢ φύσεως ἔργον. Φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί· τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστὶν, ἀλλὰ καὶ συμφέρον αὐτῇ. Πῶς ἅπτεται θεοῦ ἄνθρωπος, καὶ κατὰ τί αὐτοῦ μέρος, καὶ ὅταν πῶς ἔχῃ διακέηται τὸ τοῦ ἀνθρώπου τοῦτο μόριον; οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου, καὶ τὰ νέρθεν γᾶς φησιν ἐρευνῶντος, καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δὲ ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι, καὶ τοῦτον γνησίως θεραπεύειν. θεραπεία δὲ αὐτοῦ καθαρὸν πάθους διατηρεῖν, καὶ εἰκαιότητος καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. Τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν. Τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν, ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ, δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις αὕτη τῆς στερισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέλανα. Κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι

οὐδεὶς

οὐδὲ εἰς ἄλλον ἀποβάλλει βίον, ἢ τοῦτον ὃν ζῇ· οὐδὲ ἄλλον ζῇ ἢ ὃν ἀποβάλλει. εἰς ταυτὸ οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. τὸ γὰρ παρὸν, πᾶσιν ἴσον, εἰ καὶ τὸ ἀπολλύμενον, οὐκ ἴσον, καὶ τὸ ἀποβαλλόμενον, οὕτως ἀκαριαῖον ἀναφαίνεται. οὔτε γὰρ τὸ παρῳχηκὸς, οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν τις. ὃ γὰρ οὐκ ἔχει, πῶς ἄν τις τοῦτο αὐτοῦ ἀφέλοιτο; τούτων οὖν τῶν δύο δεῖ μεμνῆσθαι· ἑνὸς μὲν ὅτι πάντα ἐξ ἀϊδίου ὁμοειδῆ, καὶ ἀνακυκλούμενα, καὶ οὐδὲν διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν, ἢ ἐν διακοσίοις, ἢ ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται. ἑτέρου δὲ, ὅτι καὶ ὁ πολυχρονιώτατος, καὶ ὁ τάχιστα τεθνηξόμενος, τὸ ἴσον ἀποβάλλει. Τὸ γὰρ παρόν ἐστι μόνον οὗ στερίσκεσθαι μέλλει, ὅπερ γε ἔχει, καὶ τοῦτο μόνον. καὶ ὃ μὴ ἔχει τις, οὐκ ἀποβάλλει.

Ὅτι πᾶν ὑπόληψις, δῆλα μὲν γὰρ τὰ πρὸς τὸν κυνικὸν Μόνιμον λεγόμενα. δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου, ἐάν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ ἀληθοῦς δέχηται. Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχή· μάλιστα μὲν, ὅταν ἀπόστημα, καὶ οἷον φῦμα τοῦ κόσμου ὅσον ἐφ᾽ ἑαυτῷ γένηται. τὸ γὰρ δυσχεραίνειν τινὶ τῶν γινομένων ἀπόστασίς ἐστι τῆς φύσεως, ἧς ἐν μέρει, ἑκάστου τῶν λοιπῶν φύσεις περιέχονται· ἔπειτα δὲ, ὅταν ἄνθρωπόν τινα ἀποστραφῇ, ἢ καὶ ἐναντία φέρηται,

φέρηται, ὡς βλάψουσα, οἷαί εἰσιν αἱ τῶν ὀργιζομένων. τρίτον ὑβρίζει ἑαυτὴν, ὅταν ἡσσᾶται ἡδονῆς, ἢ πόνου. τέταρτον, ὅταν ὑποκρίνηται, καὶ ἐπιπλάστως, καὶ ἀναληθῶς τι ποιῇ, ἢ λέγῃ. πέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆς καὶ ὁρμὴν, ἐπ' οὐδένα σκοπὸν ἀφίῃ, ἀλλὰ εἰκῇ καὶ ἀπαρακολουθήτως ὁτιοῦν ἐνεργῇ. δέον καὶ τὰ μικρότατα, κατὰ τὴν ἐπὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι. τέλος δὲ λογικῶν ζώων τὸ ἕπεσθαι τῷ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

Τοῦ ἀνθρωπίνου βίου, ὁ μὲν χρόνος, στιγμή· ἡ δὲ οὐσία, ῥέουσα· ἡ δὲ αἴσθησις, ἀμυδρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις, εὔσηπτος. ἡ δὲ ψυχὴ, ῥεμβός· ἡ δὲ τύχη, δυστέκμαρτον. ἡ δὲ φήμη, ἄκριτον. συνελόντι δὲ εἰπεῖν, πάντα, τὰ μὲν τοῦ σώματος, ποταμός· τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τῦφος· ὁ δὲ βίος, πόλεμος, καὶ ξένου ἐπιδημία. ἡ ὑστεροφημία δὲ, λήθη. τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία. τοῦτο δὲ, ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον, καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῇ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως· ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι, ἢ μὴ ποιῆσαι. ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον, ὡς ἐκεῖθέν

ποθεν

ποθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν. ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα, ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῶον συγκρίνεται. εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γάρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.

Τὰ ἐν Καρνούντῳ.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙ-
νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον γ.

Οὐχὶ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος, καὶ μέρος ἔλαττον αὐτοῦ καταλείπεται· ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι εἰ ἐπὶ πλέον βιώῃ τις, ἐκεῖνό γε ἄδηλον, εἰ ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων, καὶ τῆς θεωρίας τῆς συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν θείων καὶ τῶν ἀν-

θρω-

θρωπείων. ἐὰν γὰρ παραληρεῖν ἄρξηται, τὸ μὲν διαπνεῖσθαι, καὶ τρέφεσθαι καὶ φαντάζεσθαι, καὶ ὁρμᾶν, καὶ ὅσα ἄλλα τοιαῦτα, οὐκ ἐνδεήσει. τὸ δὲ ἑαυτῷ χρῆσθαι, καὶ τοὺς τοῦ καθήκοντος ἀριθμοὺς ἀκριβοῦν, καὶ τὰ προφαινόμενα διαρθροῦν, καὶ περὶ αὐτοῦ τοῦ εἰ ἤδη ἐξακτέον αὐτὸν ἐφιστάνας; καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμένου πάνυ χρήζει, προαποσβέννυται. χρὴ οὖν ἐπείγεσθαι, οὐ μόνον τῷ ἐγγυτέρω τοῦ θανάτου ἑκάστοτε γίνεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἐννόησιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν προαπολήγειν. χρὴ καὶ τὰ τοιαῦτα παραφυλάσσειν, ὅτι καὶ τὰ ἐπιγινόμενα τοῖς φύσει γινομένοις, ἔχει τι εὔχαρι καὶ ἐπαγωγόν. οἷον ἄρτου ὀπτωμένου παραρρήγνυταί τινα μέρη. καὶ ταῦτα οὖν τὰ διέχοντα οὕτως καὶ τρόπον τινὰ παρὰ τὸ ἐπάγγελμα τῆς ἀρτοποιΐας ἔχοντα, ἐπιπρέπει πως καὶ προθυμίαν πρὸς τὴν τροφὴν ἰδίως ἀνακινεῖ. πάλιν τε τὰ σῦκα ὁπότε ὡραιότατά ἐστι κέχηνεν. καὶ ἐν ταῖς δρυπεπέσι ἐλαίαις, αὐτὸ τὸ ἐγγὺς τῇ σήψει, ἴδιόν τι κάλλος τῷ καρπῷ προστίθησιν. οἱ στάχυες δὲ κάτω νεύοντες, καὶ τὸ τοῦ λέοντος ἐπισκύνιον, καὶ ὁ τῶν συῶν ἐκ τοῦ στόματος ῥέων ἀφρός, καὶ πολλὰ ἕτερα κατ᾽ ἰδίαν εἴ τις σκοποίη, πόρρω ὄντα τοῦ εὐειδοῦς, ὅμως διὰ τὸ τοῖς φύσει γινομένοις ἐπακολουθεῖν, συνεπικοσμεῖ,

καὶ

καὶ ψυχαγωγεῖ. ὥστε εἴ τις ἔχοι πάθος καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ γινόμενα, σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπακολούθησιν συμβαινόντων ἡδέως πως διασυνίστασθαι. οὕτως δὲ καὶ θηρίων ἀληθῆ χάσματα, οὐχ ἧσσον ἡδέως ὄψεται, ἢ ὅσα γραφεῖς, καὶ πλάσται μιμούμενοι δεικνύουσιν. καὶ γραὸς καὶ γέροντος ἀκμήν τινα καὶ ὥραν, καὶ τὸ ἐν παισὶν ἐπαφρόδιτον, τοῖς ἑαυτοῦ σώφροσιν ὀφθαλμοῖς ὁρᾶν δυνήσεται. καὶ πολλὰ τοιαῦτα οὐ παντὶ πιθανὰ, μόνῳ δὲ τῷ πρὸς τὴν φύσιν, καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειωμένῳ προσπεσεῖται.

Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος, νοσήσας ἀπέθανεν. οἱ Χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν. Ἀλέξανδρος καὶ Πομπήϊος, καὶ Γάϊος Καῖσαρ, ὅλας πόλεις ἄρδην τοσαυτάκις ἀνελόντες, καὶ ἐν παρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καὶ αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος, περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθεὶς, βολβίτῳ κατακεχρισμένος ἀπέθανεν. Δημόκριτον δὲ, οἱ φθεῖρες.

Σωκράτην δὲ, ἄλλοι φθεῖρες ἀπέκτειναν. Τί ταῦτα;

ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης; ἔκβηθι. εἰ
μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν οὐδὲ ἐκεῖ.
εἰ δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν
ἀνεχόμενος, καὶ λατρεύων τοσούτῳ χείρονι
τῷ ἀγγείῳ. ἢ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ
νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος. Μὴ κα-
τατρίψῃς τὸ ὑπολειπόμενον τοῦ βίου μέρος ἐν
ταῖς περὶ ἑτέρων φαντασίαις, ὁπόταν μὴ τὴν
ἀναφορὰν ἐπί τι κοινωφελὲς ποιῇ. ἤτοι γὰρ ἄλ-
λου ἔργου στέρῃ. τουτέστι, φανταζόμενος τί ὁ
δεῖνα πράσσει, καὶ τίνος ἕνεκεν, καὶ τί λέγει,
καὶ τί ἐνθυμεῖται, καὶ τί τεχνάζεται, καὶ ὅσα
τοιαῦτα ποιεῖ ἀπορρέμβεσθαι τῆς τοῦ ἰδίου ἡγεμο-
νικοῦ παρατηρήσεως. Χρὴ μὲν οὖν καὶ τὸ εἰκῆ καὶ
μάτην ἐν τῷ εἱρμῷ τῶν φαντασιῶν περιΐστα-
σθαι· πολὺ δὲ μάλιστα τὸ περίεργον, καὶ κα-
κόηθες. καὶ ἐθιστέον ἑαυτὸν, μόνα φαντάζεσθαι
περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο, τί νῦν διανοῇ,
μετὰ παρρησίας παραχρῆμα ἂν ἀποκρίναιο,
ὅτι τὸ, καὶ τό. ὡς ἐξ αὐτῶν εὐθὺς δῆλα εἶναι, ὅτι
πάντα ἁπλᾶ καὶ εὐμενῆ, καὶ ζώου κοινωνικοῦ, καὶ
ἀμελοῦντος ἡδονικῶν, ἢ καθάπαξ ἀπολαυστι-
κῶν φαντασμάτων, ἢ φιλονεικίας τινὸς, ἢ βασ-
κανίας καὶ ὑποψίας, ἢ ἄλλου τινὸς, ἐφ' ᾧ ἂν
ἐρυθριάσειας ἐξηγούμενος, ὅτι ἐν νῷ αὐτὸ εἶχες.
ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος, οὐκ ἔτι ὑπερτιθέμε-

νος τὸ ὡς ἐν ἀρίστοις ἤδη εἶναι, ἱερεύς τις καὶ ὑπουργὸς θεῶν, χρώμενος καὶ τῷ ἔνδον ἱδρυμένῳ αὐτοῦ, ὃ παρέχεται τὸν ἄνθρωπον ἄχραντον ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ὑπὸ μηδενὸς πάθους καταβληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον μὲν ἐξ ὅλης τῆς ψυχῆς τὰ συμβαίνοντα, καὶ ἀπονεμόμενα πάντα· μὴ πολλάκις δὲ, μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀνάγκης φανταζόμενον, τί ποτε ἄλλος λέγει, ἢ πράσσει, ἢ διανοεῖται. μόνα γὰρ τὰ ἑαυτοῦ πρὸς ἐνέργειαν ἔχει, καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐννοεῖ. κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ εἶναι πέπεισται. Ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. Μέμνηται δὲ, καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικόν. καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων, κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστίν. δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέον, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνον. οἱ δὲ μὴ οὕτως βιοῦντες, ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τῆς οἰκίας, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵων φύρονται, μεμνημένος διατελεῖ. οὐ τοίνυν οὐδὲ τὸν παρὰ τῶν τοιούτων ἔπαινον ἐν λόγῳ τίθεται, οἵγε

οὐδὲ

οὐδὲ αὐτοὶ ἑαυτοῖς ἀρέσκονται. μήτε ἀκούσιος ἐνέργει, μήτε ἀκοινώνητος, μήτε ἀνεξέταστος, μήτε ἀνθελκόμενος, μήτε κομψεία τὴν διάνοιάν σου καλλωπιζέτω. μήτε πολυρρήμων, μήτε πολυπράγμων ἔσο. ἔτι δὲ ὁ ἐν σοὶ θεὸς ἔστω προστάτης ζώου ἄρρενος, καὶ πρεσβύτου, καὶ πολιτικοῦ, καὶ Ῥωμαίου, καὶ ἄρχοντος, ἀνατεταχότος ἑαυτὸν, οἷος ἂν εἴη τις περιμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος. Ἐν δὲ τὸ φαιδρὸν, καὶ τὸ ἀπροσδεὲς τῆς ἔξωθεν ὑπηρεσίας, καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ἣν ἄλλοι παρέχουσιν. ὀρθὸν οὖν εἶναι χρὴ, οὐχὶ ὀρθούμενον. Εἰ μὲν κρεῖττον εὑρίσκεις ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρείας, καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῇ τὴν διάνοιάν σου ἐν οἷς κατὰ τὸν λόγον τὸν ὀρθὸν πράσσοντά σε παρέχεται, καὶ ἐν τῇ εἱμαρμένῃ, ἐν τοῖς ἀπροαιρέτως ἀπονεμομένοις· εἰ τοῦτο φημὶ κρεῖσσόν τι ὁρᾷς, ἐπ' ἐκεῖνο ἐξ ὅλης τῆς ψυχῆς τραπόμενος, τοῦ ἀρίστου εὑρισκομένου ἀπόλαυε. εἰ δὲ μηδὲν κρεῖττον φαίνεται αὐτοῦ τοῦ ἐνιδρυμένου ἐν σοὶ δαίμονος, τάς τε ἰδίας ὁρμὰς ὑποτεταχότος ἑαυτῷ, καὶ τὰς φαντασίας ἐξετάζοντος, καὶ τῶν αἰσθητικῶν πείσεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφελκυκότος,

καὶ τοῖς θεοῖς ὑποτεταχότα ἑαυτὸν, καὶ τῶν ἀνθρώπων προκηδόμενον· εἰ τούτου πάντα τὰ ἄλλα μικρότερα καὶ εὐτελέστερα εὑρίσκεις, μηδενὶ χώραν δίδου ἑτέρῳ, πρὸς ὃ ῥέψας ἅπαξ καὶ ἀποκλίνας, οὐκ ἔτι ἀπερισπάστως τὸ ἀγαθὸν ἐκεῖνο τὸ ἴδιον, καὶ τὸ σὸν προτιμᾶν δυνήσῃ. Ἀντικαθῆσθαι γὰρ τῷ λογικῷ καὶ ποιητικῷ ἀγαθῷ, οὐ θέμις οὐδ' ὁποῦν ἑτερογενές· οἷον τὸν παρὰ πολλῶν ἔπαινον, ἢ ἀρχάς, ἢ πλοῦτον, ἢ ἀπολαύσεις ἡδονῶν. πάντα ταῦτα, κἂν πρὸς ὀλίγον ἐναρμόζειν δόξῃ, κατεκράτησεν ἄφνω, καὶ παρήνεγκεν. Σὺ δέ φημι ἁπλῶς καὶ ἐλευθέρως ἑλοῦ τὸ κρεῖττον, καὶ τούτου ἀντέχου. κρεῖττον δὲ, τὸ συμφέρον. εἰ μὲν τὸ ὡς λογικῷ, τοῦτο τήρει. εἰ δὲ τὸ ὡς ζώῳ, ἀπόφηναι, καὶ ἀτύφως φύλασσε τὴν κρίσιν μόνον, ὅπως ἀσφαλῶς τὴν ἐξέτασιν ποιήσῃ. μὴ τιμήσῃς ποτὲ ὡς συμφέρον σεαυτοῦ, ὃ ἀναγκάσει σέ ποτε τὴν πίστιν παραβῆναι, τὴν αἰδῶ ἐγκαταλιπεῖν, μισῆσαί τινα, ὑποπτεῦσαι, καταράσασθαι, ὑποκρίνασθαι, ἐπιθυμῆσαί τινος, τοίχων καὶ παραπετασμάτων δεομένου. ὁ γὰρ τὸν ἑαυτοῦ νοῦν καὶ δαίμονα, καὶ τὰ ὄργια τῆς τούτου ἀρετῆς προελόμενος, τραγῳδίαν οὐ ποιεῖ, οὐ στενάζει, οὐκ ἐρημίας, οὐ πολυπληθείας δεήσεται. τὸ μέγιστον, ζήσει, μήτε διώκων, μήτε φεύ-

τε φεύξεται. πότερον δὲ ἐπὶ πλεῖον διάστημα χρόνου τῷ σώματι περιεχομένῃ τῇ ψυχῇ, ἢ ἐπ' ἔλασσον χρήσεται, οὐδ' ὁτιοῦν αὐτῷ μέλει. κἂν γὰρ ἤδη ἀπαλλάσσεσθαι δέῃ, οὕτως εὐλύτως ἄπεισιν, ὡς ἄλλό τι τῶν αἰδημόνως καὶ κοσμίως ἐνεργεῖσθαι δυναμένων ἐνεργήσων. τοῦτο μόνον παρ' ὅλον τὸν βίον εὐλαβούμενος, τὸ τὴν διάνοιαν ἔν τινι τῶν οἰκείων νοεροῦ πολιτικοῦ ζώου τροπῇ γενέσθαι, οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου, καὶ ἐκκεκαθαρμένου πυῶδες, οὐδὲ μὴν μεμολυσμένον, οὐδὲ ὕπουλον εὕροις, οὐδὲ ἀσυντελῆ τὸν βίον αὐτοῦ ἡ πεπρωμένη καταλαμβάνει, ὡς ἄν τις εἴποι τοὺς τραγῳδοὺς πρὸ τοῦ τελέσαι καὶ διαδραματίσαι ἀπαλλάσσεσθαι. ἔτι δὲ οὐδὲν δοῦλον, οὐδὲ κομψὸν, οὐδὲ προσδεδεμένον, οὐδὲ ἀπεσχισμένον, οὐδὲ ὑπεύθυνον, οὐδὲ ἐμφωλεῦον. Τὴν ὑποληπτικὴν δύναμιν σέβου. ἐν ταύτῃ τὸ πᾶν, ἵνα ὑπόληψις τῷ ἡγεμονικῷ σου μηκέτι ἐγγένηται ἀνακόλουθον τῇ φύσει, καὶ τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ. αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν, καὶ τὴν πρὸς ἀνθρώπους οἰκείωσιν, καὶ τὴν τοῖς θεοῖς ἀκολουθίαν. Πάντα οὖν ῥίψας, ταῦτα μόνον τὰ ὀλίγα σύνεχε. καὶ ἔτι συμμνημόνευε, ὅτι μόνον ζῇ ἕκαστος τὸ παρὸν τοῦτο, τὸ ἀκαριαῖον· τὰ δὲ ἄλλα, ἢ βεβίωται, ἢ ἐν ἀδήλῳ.

μικρὸν μὲν οὖν ὃ ζῇ ἕκαστος, μικρὸν δὲ τὸ τῆς γῆς γωνίδιον, ὅπου ζῇ· μικρὸν δὲ καὶ ἡ μηκίστη ὑστεροφημία. καὶ αὕτη δὲ κατὰ διαδοχὴν ἀνθρωπαρίων τάχιστα τεθνηξομένων, καὶ οὐκ εἰδότων οὐδὲ ἑαυτοὺς, οὔτε γε τὸν πρόπαλαι τεθνηκότα. Τοῖς δὲ εἰρημένοις παραστήμασιν ἓν ἔτι προσέστω, τὸ ὅρον ἢ ὑπογραφὴν ἀεὶ ποιεῖσθαι τοῦ ὑποπίπτοντος φανταστοῦ, ὥστε αὐτὸ ὁποῖόν ἐστι κατ' οὐσίαν γυμνὸν, ὅλον δι' ὅλων διῃρημένως βλέπειν, καὶ τὸ ἴδιον ὄνομα αὐτοῦ, καὶ τὰ ὀνόματα ἐκείνων ἐξ ὧν συνεκρίθη, καὶ εἰς ἃ ἀναλυθήσεται, λέγειν παρ' ἑαυτῷ. οὐδὲν γὰρ οὕτως μεγαλοφροσύνης ποιητικὸν, ὡς τὸ ἐλέγχειν ὁδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν τῷ βίῳ ὑποπιπτόντων δύνασθαι, καὶ τὸ ἀεὶ οὕτως εἰς αὐτὰ ὁρᾶν, ὥστε συνεπιβάλλειν ὁποίῳ τινὶ τῷ κόσμῳ, ὁποίαν τινὰ τοῦτο χρείαν παρεχόμενον, τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς τὸ ὅλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον, πολίτην ὄντα πόλεως τῆς ἀνωτάτης, ἧς αἱ λοιπαὶ πόλεις ὥσπερ οἰκίαι εἰσίν.

Τί ἐστι, καὶ ἐκ τίνων συγκέκριται, καὶ πόσον χρόνον πέφυκε παραμένειν τοῦτο, τὸ τὴν φαντασίαν μοι νῦν ποιοῦν, καὶ τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία; οἷον ἡμερότητος, ἀνδρείας, ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. διὸ δεῖ ἐφ' ἑκάστου λέγειν, τοῦτο

μὲν

μὲν παρὰ θεοῦ ἥκει, τοῦτο δὲ κατὰ τὴν σύλληξιν,
καὶ τὴν συμμηρυομένην σύγκλωσιν, καὶ τὴν
τοιαύτην συντυχίαν τε καὶ τύχην. τοῦτο δὲ παρὰ
τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ,
ἀγνοοῦντος μέντοι ὅ τι αὐτῷ κατὰ φύσιν ἐστίν.
ἀλλ' ἐγὼ οὐκ ἀγνοῶ. διὰ τοῦτο χρῶμαι αὐτῷ
κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον, εὔνως, καὶ
δικαίως, ἅμα μέντοι τοῦ κατ' ἀξίαν ἐν τοῖς μέ-
σοις συστοχάζομαι.

Ἐὰν τὸ παρὸν ἐνεργῇς, ἑπόμενος τῷ ὀρθῷ λό-
γῳ ἐσπουδασμένως, ἐρρωμένως, εὐμενῶς, καὶ μη-
δὲν παρεμπόρευμα, ἀλλὰ τὸν ἑαυτοῦ δαίμονα
καθαρὸν ἑστῶτα τηρῇς, ὡς εἰ καὶ ἤδη ἀποδοῦναι
δέοι, ἐὰν τοῦτο συνάπτῃς μηδὲν περιμένων, μη-
δὲ φεύγων, ἀλλὰ τῇ παρούσῃ κατὰ φύσιν ἐνεργείᾳ,
καὶ τῇ ὧν λέγεις καὶ φθέγγῃ, ἡρωϊκῇ ἀλη-
θείᾳ ἀρκούμενος, εὐζωήσεις. ἔστι δὲ οὐδεὶς ὁ τοῦτο
κωλῦσαι δυνάμενος. Ὥσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄρ-
γανα καὶ σιδήρεια πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνί-
δια τῶν θεραπευμάτων· οὕτω τὰ δόγματα σὺ
ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέ-
ναι, καὶ πᾶν καὶ τὸ μικρότατον οὕτω ποιεῖν, ὡς τῆς
ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημέ-
νον. οὔτε γὰρ ἀνθρώπινόν τι ἄνευ τῆς ἐπὶ τὰ θεῖα
συναναφορᾶς εὖ πράξεις, οὔτε ἔμπαλιν. Μηκέτι
πλανῶ. οὔτε γὰρ τὰ ὑπομνημάτιά σου μέλλεις ἀνα-

γινώσκειν, οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ Ἑλλήνων πράξεις, καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογάς, ἃς εἰς τὸ γῆρας σαυτῷ ἀπετίθεσο. σπεῦδε οὖν εἰς τέλος, καὶ τὰς κενὰς ἐλπίδας ἀφεὶς, σαυτῷ βοήθει, εἴ τι σοι μέλει σεαυτοῦ ὡς ἔξεστιν. Οὐκ ἴσασι πόσα σημαίνει τὸ κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν, τὸ ὁρᾶν τὰ πρακτέα, ὃ οὐκ ὀφθαλμοῖς γίνεται, ἀλλ' ἑτέρᾳ τινὶ ὄψει. σῶμα, ψυχὴ, νοῦς, σώματος αἰσθήσεις, ψυχῆς ὁρμαὶ, νοῦ δόγματα. Τὸ μὲν τυποῦσθαι φανταστικῶς, καὶ τῶν βοσκημάτων· τὸ δὲ νευροσπαστεῖσθαι ὁρμητικῶς, καὶ τῶν θηρίων, καὶ τῶν ἀνδρογύνων, καὶ Φαλαρείδος, καὶ Νέρωνος. τὸ δὲ τὸν νοῦν ἡγεμόνα ἔχειν ἐπὶ τὰ φαινόμενα καθήκοντα, καὶ τῶν θεοὺς μὴ νομιζόντων, καὶ τῶν τὴν πατρίδα ἐγκαταλειπόντων, καὶ τῶν ποιούντων ἐπειδὰν κλείσωσι τὰς θύρας. * Εἰ οὖν τὰ λοιπὰ κοινά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιόν ἐστι τοῦ ἀγαθοῦ, φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαίνοντα, καὶ συγκλωθόμενα αὐτῷ· τὸν δὲ ἔνδον ἐν τῷ στήθει ἱδρυμένον δαίμονα μὴ φύρειν, μηδὲ θορυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων διατηρεῖν, κοσμίως ἑπόμενον ὡς θεῷ, μήτε φθεγγόμενόν τι παρὰ τὰ ἀληθῆ, μήτε ἐνεργοῦντα παρὰ τὰ δίκαια. εἰ δὲ ἀπιστοῦσιν αὐτῷ πάντες

ἄνθρω-

ἄνθρωποι, ὅτι ἁπλῶς καὶ αἰδημόνως καὶ εὐθύμως βιοῖ, οὔτε χαλεπαίνει τινὶ τούτων, οὔτε παρατρέπεται τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καθαρόν, ἡσύχιον, εὔλυτον, ἀβιάστως τῇ ἑαυτοῦ μοίρᾳ συνηρμοσμένον.

ΜΆΡΚΟΥ ΑΝΤΩΝΙ'-
νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον δ'.

Τὸ ἔνδον κυριεῦον, ὅταν κατὰ φύσιν ἔχῃ, οὕτως ἕστηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς τὸ δυνατὸν καὶ διδόμενον μετατίθεσθαι ῥᾳδίως. ὕλην γὰρ ἀποτεταγμένην οὐδεμίαν φιλεῖ· ἀλλὰ ὁρμᾷ μὲν πρὸς τὰ ἡγούμενα μεθ' ὑπεξαιρέσεως, τὸ δὲ ἀντεισαγόμενον ὕλην ἑαυτῷ ποιεῖ. ὥσπερ τὸ πῦρ, ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων, ὑφ' ὧν ἂν μικρός τις λύχνος ἐσβέσθη. τὸ δὲ λαμπρὸν πῦρ, τάχιστα ἐξῳκείωσεν ἑαυτῷ τὰ ἐπιφερόμενα, καὶ κατηνάλωσεν, καὶ ἐξ αὐτῶν ἐκείνων ἐπὶ μεῖζον ἤρθη. Μηδὲν ἐνέργημα εἰκῆ, μηδὲ ἄλλως ἢ κατὰ θεώρημα συμπληρωτικὸν τῆς τέχνης ἐνεργείσθω. Ἀναχωρήσεις αὐτοῖς ζητοῦσιν ἀγροικίας,

καὶ αἰγιαλοὺς, καὶ ὄρη· εἴωθας δὲ καὶ σὺ τὰ τοιαῦτα μάλιστα ποθεῖν. ὅλον δὲ τοῦτο ἰδιωτικώτατόν ἐστιν, ἐξὸν ἧς ἂν ὥρας ἐθελήσῃς εἰς ἑαυτὸν ἀναχωρεῖν. οὐδαμοῦ γὰρ οὔτε ἡσυχιώτερον, οὔτε ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρεῖ, ἢ εἰς τὴν ἑαυτοῦ ψυχὴν· μάλισθ᾽ ὅστις ἔχει ἔνδον τοιαῦτα, εἰς ἃ ἐγκύψας, ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς γίνεται· τὴν δὲ εὐμάρειαν οὐδὲν ἄλλο λέγω, ἢ εὐκοσμίαν. Συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην τὴν ἀναχώρησιν, καὶ ἀνανέου σεαυτόν. Βραχέα δὲ ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα, ἀρκέσει εἰς τὸ πᾶσαν λύπην ἀποκλύσαι, καὶ ἀποπέμψαι σε, μὴ δυσχεραίνοντα ἐκείνοις ἐφ᾽ ἃ ἐπανέρχῃ. Τίνι γὰρ δυσχεραίνεις; τῇ τῶν ἀνθρώπων κακίᾳ; ἀναλογισάμενος τὸ κρίμα, ὅτι τὰ λογικὰ ζῶα ἀλλήλων ἕνεκεν γέγονεν· καὶ ὅτι τὸ ἀνέχεσθαι μέρος τῆς δικαιοσύνης· καὶ ὅτι ἄκοντες ἁμαρτάνουσι, καὶ πόσοι ἤδη διεχθρεύσαντες, ὑποπτεύσαντες, μισήσαντες, διαδορατισθέντες ἐκτέτανται, τετέφρωνται. παύου ποτέ. ἀλλὰ καὶ τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις δυσχεραίνεις, ἀνανεωσάμενος τὸ διεζευγμένον, ἤτοι πρόνοια, ἢ ἄτομοι, ἢ ἐξ ὅσων ἀπεδείχθη, ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. ἀλλὰ τὰ σωματικά σου ἅψεται; ἐπινοήσας ὅτι οὐκ ἐπιμίγνυται λείως ἢ τραχέως κινουμένῳ πνεύματι ἡ διάνοια,

ἐπει-

ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀπολάβῃ, καὶ γνωρίσῃ τὴν ἰδίαν ἐξουσίαν. καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς ἀκήκοας, ᾧ συγκατέθου. Ἀλλὰ τὸ δοξάριόν σε περισπάσει. ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης, καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου αἰῶνος, καὶ τὸ κενὸν τῆς ἀπηχήσεως, καὶ τὸ εὐμετάβολον καὶ ἄκριτον τῶν ἐφ' ἡμῖν δοκούντων, καὶ τὸ στενὸν τοῦ τόπου ἐν ᾧ περιγράφεται. ὅλη τε γὰρ ἡ γῆ στιγμή, καὶ ταύτης πόσον γωνίδιον ἡ κατοίκησις αὕτη; καὶ ἐνταῦθα πόσοι, καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι; Λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς τοῦτο τὸ ἀγρίδιον ἑαυτοῦ, καὶ πρὸ παντὸς μὴ σπῶ, μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο, καὶ ὅρα τὰ πράγματα ὡς ἀνήρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῶον. Ἐν δὲ τοῖς προχειροτάτοις εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο. ἓν μὲν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα· αἱ δὲ ὀχλήσεις, ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως. ἕτερον, δὲ ὅτι πάντα ταῦτα ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβαλεῖ, καὶ οὐκ ἔτι ἔσται· καὶ ὅσων ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. ὁ κόσμος, ἀλλοίωσις· ὁ βίος, ὑπόληψις. Εἰ τὸ νοερὸν ἡμῖν κοινὸν, καὶ ὁ λόγος καθ' ὃν λογικοί ἐσμεν κοινός· εἰ τοῦτο, καὶ ὁ προστακτι-

κὸς

κὸς τῶν ποιητέων, ἢ μὴ λόγος κοινός· εἰ τοῦτο, καὶ ὁ νόμος κοινός. εἰ τοῦτο, πολῖταί ἐσμεν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί. τίνος γὰρ ἄλλου φήσει τις, τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δὲ ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν, ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, καὶ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου, καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινος, καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μηδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται) οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον, σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων εἰς ταῦτα, ὅλως δ' οὐκ ἐφ' ᾧ αἰσχυνθείη. οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζώῳ, οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς. ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι ἐξ ἀνάγκης. ὁ δὲ τοῦτο μὴ θέλων, θέλει τὴν συκῆν ὀπὸν μὴ ἔχειν. ὅλως δ' ἐκεῖνο μέμνησο, ὅτι ἐντὸς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε· μετὰ βραχὺ δὲ, οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ βέβλαμμαι. ἆρον τὸ βέβλαμμαι, ἦρται ἡ βλάβη. ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον

αὐτοῦ

αὐτοῦ χείρω ποιεῖ, οὐδὲ βλάπτει, οὔτε ἔξωθεν, οὔτε ἔνδοθεν. ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν· ὅτι πᾶν τὸ συμβαῖνον, δικαίως συμβαίνει. ὃ ἐὰν ἀκριβῶν παραφυλάσσῃς, εὑρήσεις, οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον, καὶ ὡς ἂν ὑπό τινος ἀπονέμοντος τὸ κατ' ἀξίαν. παραφύλασσε οὖν ὡς ἤρξω· καὶ ὅ, τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τῷ ἀγαθὸς εἶναι· καθ' ὃ νενόηται ἰδίως ὁ ἀγαθὸς, τοῦτο ἐπὶ πάσης ἐνεργείας σῶζε. Μὴ τοιαῦτα ὑπολάμβανε, οἷα ὁ ὑβρίζων κρίνει ἢ οἷα σε κρίνειν βούλεται. ἀλλὰ ἴδε αὐτὰ, ὁποῖα κατ' ἀλήθειάν ἐστι. δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ, τὴν μὲν, πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ, ἐπ' ὠφελείᾳ ἀνθρώπων. τὴν δὲ, πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. Τὴν μέντοι μεταγωγὴν, ἀεὶ ἀπό τινος πιθανότητος ὡς δικαίου, ἢ κοινωφελοῦς γίνεσθαι, καὶ τὰ παραπλήσια τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη. Λόγον ἔχεις; ἔχω. τί οὖν οὐ χρᾷ; τούτου εἰ τὸ ἑαυτοῦ ποιοῦντος, τί ἄλλο θέλεις; Ἐνυπέστης ὡς μέρος ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν. Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ

αὐτοῦ

αὐτοῦ βωμοῦ, τὸ μὲν προκατέπεσεν, τὸ δ' ὕστερον. διαφέρει δ' οὐδέν. Ἐντὸς δέκα ἡμερῶν θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίον καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα, καὶ τὸν σεβασμὸν τοῦ λόγου, μὴ ὡς μύρια μέλλων ἔτη ζῆν. τὸ χρεὼν ἐπήρτηται, ἕως ζῇς, ἕως ἔξεστιν, ἀγαθὸς γίνου. Ὅσην ἀσχολίαν κερδαίνει ὁ μὴ βλέπων, τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη· ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ, καὶ ὅσιον, ἢ κατὰ τὸν ἀγαθὸν μὴ μέλαν ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθὸν, μὴ διερριμμένον. Ὁ περὶ τὴν ὑστεροφημίαν ἐπτοημένος οὐ φαντάζεται, ὅτι ἕκαστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐτὸς ἀποθανεῖται. εἶτα πάλιν καὶ αὐτὸς ὁ ἐκεῖνον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀποσβῇ διὰ ἐπτοημένων καὶ σβεννυμένων προϊοῦσα. ὑπόθου δ' ὅτι καὶ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι, ἀθάνατος δ' ἡ μνήμη, τί οὖν τοῦτο πρὸς σέ; καὶ οὐδὲν λέγω ὅτι πρὸς τὸν τεθνηκότα, ἀλλὰ πρὸς τὸν ζῶντα. τί ὁ ἔπαινος. πλὴν ἄρα δι' οἰκονομίαν τινά· πάρες γὰρ νῦν ἀκαίρως τὴν φυσικὴν δόσιν, ἄλλου τινὸς ἐχόμενον λόγου λοιπόν. Πᾶν δὲ καὶ ὁπωσοῦν καλὸν, ἐξ ἑαυτοῦ καλόν ἐστι, καὶ ἐφ' ἑαυτῷ καταλήγει, οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν ἔπαινον· οὔτε γοῦν χεῖρον ἢ κρεῖττον γίνεται

ται

του δ᾽ ἐπαινούμενον. τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων· οἷον ἐπὶ τῶν ὑλικῶν, καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων. τὸ δὲ δὴ ὄντως καλὸν τινὸς χρείαν ἔχει, οὐ μᾶλλον ἢ νόμος, οὐ μᾶλλον ἢ ἀλήθεια· οὐ μᾶλλον ἢ εὔνοια, ἢ αἰδώς, τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον φθείρεται; σμαράγδιον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσός, ἐλέφας, πορφύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον; Εἰ διαμένουσιν αἱ ψυχαί, πῶς αὐτὰς ἐξ ἀϊδίου χωρεῖ ὁ ἀήρ· πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα· ὥσπερ γὰρ ἐνθάδε, ἡ τούτων πρὸς ἥν τινα ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νεκροῖς ποιεῖ, οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαί, ἐπὶ πόσον συμμείνασαι μεταβάλλουσι, καὶ χέονται, καὶ ἐξάπτονται, εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι. καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσσυνοικιζομέναις παρέχουσι. τοῦτο δ᾽ ἄν τις ἀποκρίναιτο, ἐφ᾽ ὑποθέσει τοῦ τὰς ψυχὰς διαμένειν. χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι τὸ πλῆθος τῶν θαπτομένων οὑτωσὶ σωμάτων, ἀλλὰ καὶ τὸ τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζώων, ὑφ᾽ ἡμῶν τε καὶ τῶν ἄλλων ζώων. ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται, καὶ οὑτωσί πως θάπτεται ἐν τοῖς τῶν

τρεφο-

τρεφομένων σώμασι, καὶ ὅμως δέχεται ἡ χώρα αὕτη διὰ τὰς ἐξαιματώσεις, διὰ τὰς εἰς τὸ ἀερῶδες ἢ πυρῶδες ἀλλοιώσεις. τίς ἐπὶ τούτου ἡ ἱστορία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικόν, καὶ εἰς τὸ αἰτιῶδες μὴ ἀπορρέμβεσθαι, ἀλλ᾽ ἐπὶ πάσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι· καὶ ἐπὶ πάσης φαντασίας σώζειν τὸ καταληπτικόν. Πᾶν μοι συναρμόζει, ὃ σοὶ εὐάρμοστον ἐστί, ὦ κόσμε. οὐδέν μοι πρόωρον, οὐδὲ ὄψιμον, τὸ σοὶ εὔκαιρον· πᾶν μοι καρπὸς, ὃ φέρουσιν αἱ σαὶ ὧραι. ὦ φύσις, ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. ἐκεῖνος μέν φησι, πόλι φίλη Κέκροπος. σὺ δὲ οὐκ ἐρεῖς, ὦ πόλι φίλη Διός; Ὀλίγα πρῆσσε φησὶν, εἰ μέλλεις εὐθυμήσειν· μηδὲν ἄμεινον τοῦ ἀναγκαῖα πράσσειν, καὶ ὅσα ὁ τοῦ φύσει πολιτικοῦ ζώου λόγος αἱρεῖ, καὶ ὡς αἱρεῖ. τοῦτο γὰρ οὐ μόνον τὴν ἀπὸ τοῦ καλῶς πράσσειν εὐθυμίαν φέρει, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὀλίγα πράσσειν. τὰ πλεῖστα γὰρ ὧν λέγομεν καὶ πράσσομεν, οὐκ ἀναγκαῖα ὄντα, ἐάν τις περιέλῃ, εὐσχολώτερος καὶ ἀταρακτότερος ἔσται. ὅθεν δεῖ καὶ παρ᾽ ἕκαστα ἑαυτὸν ὑπομιμνήσκειν, μή τι τοῦτο οὐ τῶν ἀναγκαίων. Δεῖ δὲ μὴ μόνον πράξεις τὰς μὴ ἀναγκαίας περιαιρεῖν, ἀλλὰ καὶ φαντασίας· οὕτως γὰρ οὐδὲ πράξεις παρέλκουσαι ἐπακολουθήσουσι. Πείρασον πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος,

τοῦ

τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ διαθέσει εὐμενεῖ. ἑώρακας ἐκεῖνα, ἴδε καὶ ταῦτα. Σεαυτὸν μὴ τάρασσε. ἅπλωσον σεαυτόν. ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. Συμβέβηκέ σοί τι; καλῶς, ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς σοι συγκαθείμαρτο, καὶ συνεκλώθετο πᾶν τὸ συμβαῖνον. Τὸ δ' ὅλον βραχὺς ὁ βίος· κερδαντέον τὸ παρὸν σὺν εὐλογιστίᾳ καὶ δίκῃ, νῆφε ἀνειμένος. Ἤτοι κόσμος διατεταγμένος; ἢ κυκεών, συμπεφορημένος μὲν, ἀλλὰ κόσμος. ἢ ἐν σοὶ μέν τις κόσμος ὑφίστασθαι δύναται, ἐν δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα, οὕτως πάντων διακεκριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν. Μέλαν ἦθος, θῆλυ ἦθος, περισκελὲς ἦθος, θηριῶδες, βοσκηματῶδες, παιδαριῶδες, βλακικὸν, κίβδηλον, βωμολόχον, καπηλικὸν, τυραννικόν. Εἰ ξένος κόσμου ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος, καὶ ὁ μὴ γνωρίζων τὰ γιγνόμενα, φυγὰς ὁ φεύγων τὸν πολιτικὸν λόγον. τυφλὸς ὁ καταμύων τῷ νοερῷ ὄμματι. πτωχὸς ὁ ἐνδεὴς ἑτέρου, καὶ μὴ πάντα ἔχων παρ' ἑαυτοῦ τὰ εἰς τὸν βίον χρήσιμα. ἀπόστημα κόσμου ὁ ἀφιστάμενος, καὶ χωρίζων ἑαυτὸν τοῦ τῆς κοινῆς φύσεως λόγου, διὰ τοῦ δυσαρεστεῖν τοῖς συμβαίνουσιν. ἐκείνη γὰρ φέρει τοῦτο, ἣ καὶ σὲ ἤνεγκεν. ἀπόσχισμα πόλεως ὁ τὴν ἰδίαν

ψυχὴν τῆς τῶν λογικῶν ἀρχίζων, μιᾶς οὔσης. ὁ μὲν χωρὶς χιτῶνος φιλοσοφεῖ, ὁ δὲ χωρὶς βιβλίου, ἄλλος οὗτος ἡμίγυμνος. ἄρτους οὐκ ἔχω φησὶ, καὶ ἐμμένω τῷ λόγῳ. ἐγὼ δὲ τροφὰς τὰς ἐκ μαθημάτων οὐκ ἔχω, καὶ ἐμμένω. Τὸ τεχνίον ὃ ἔμαθες φίλει, τούτῳ προσαναπαύου, τὸ δὲ ὑπόλοιπον τοῦ βίου διέξελθε, ὡς θεοῖς μὲν ἐπιτετροφὼς τὰ σεαυτοῦ πάντα ἐξ ὅλης τῆς ψυχῆς, ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον, μήτε δοῦλον ἑαυτὸν καθιστάς. Ἐπινόησον λόγου χάριν τοὺς ἐπὶ Οὐεσπασιανοῦ καιροὺς, ὄψει ταῦτα πάντα· γαμοῦντας, παιδοτροφοῦντας, νοσοῦντας, ἀποθνήσκοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπορευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθαδιζομένους, ὑποπτεύοντας, ἐπιβουλεύοντας, ἀποθανεῖν τινὰς εὐχομένους, γογγύζοντας ἐπὶ τοῖς παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας, βασιλείας ἐπιθυμοῦντας. οὐκοῦν ἐκεῖνος μὲν ὁ τούτων βίος, οὐκ ἔτι οὐδαμοῦ. Πάλιν ἐπὶ τοὺς καιροὺς τοὺς Τραϊανοῦ μετάβηθι· πάλιν τὰ αὐτὰ πάντα. τέθνηκε κἀκεῖνος ὁ βίος. ὁμοίως καὶ τὰς ἄλλας ἐπιγραφὰς χρόνων καὶ ὅλων ἐθνῶν ἐπιθεώρει καὶ βλέπε πόσοι κατενταθέντες, μετὰ μικρὸν ἔπεσον, καὶ ἀνελύθησαν εἰς τὰ στοιχεῖα. Μάλιστα δὲ ἀναπολητέον ἐκείνους οὓς αὐτὸς ἔγνως κενὰ σπωμένους, ἀφέντας ποιεῖν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν. &

τούτου

τούτου ἀπρὶξ ἔχεσθαι, καὶ τούτῳ ἀρκεῖσθαι. Ἀναγκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἐπιστροφὴ καθ' ἑκάστην πρᾶξιν, ἰδίαν ἀξίαν ἔχει καὶ συμμετρίαν. οὕτως γὰρ οὐκ ἀποδυσπετήσεις, ἐὰν μὴ ἐπὶ πλέον ἢ προσῆκε περὶ τὰ ἐλάσσω καταγίνῃ. αἱ πάλαι συνήθεις λέξεις, γλωσσήματα νῦν. οὕτως οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πολυϋμνήτων, νῦν τρόπον τινὰ γλωσσήματά ἐστιν. Κάμιλλος, Καίσων, Οὐόλεσος, Λεοννάτος. κατ' ὀλίγον δὲ καὶ Σκιπίων, καὶ Κάτων, εἶτα καὶ Αὔγουστος, εἶτα καὶ Ἀδριανός, καὶ Ἀντωνῖνος· ἐξίτηλα γὰρ πάντα, καὶ μυθώδη ταχὺ γίνεται. ταχὺ δὲ καὶ παντελὴς λήθη κατέχωσεν. καὶ ταῦτα λέγω ἐπὶ τῶν θαυμαστῶς πως λαμψάντων. οἱ γὰρ λοιποὶ ἅμα τῷ ἐκπνεῦσαι, ἄϊστοι, ἄπυστοι. Τί δὲ καὶ ἔστιν ὅλως τὸ ἀείμνηστον; ὅλον κενόν. Τί οὖν ἐστι περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι; ἓν τοῦτο, διάνοια δικαία, καὶ πράξεις κοινωνικαί, καὶ λόγος οἷος μήποτε διαψεύσασθαι, καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον ὡς ἀναγκαῖον, ὡς γνώριμον, ὡς ἀπ' ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον· ἑκὼν σεαυτὸν τῇ Κλωθοῖ συνεπιδίδου, παρέχων συνυφῆναι, οἷστισί ποτε πράγμασι βούλεται· πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον, καὶ τὸ μνημονευόμενον, θεώρει διηνεκῶς πάντα κατὰ μεταβολὴν γινόμενα γίνεται· καὶ ἐθίζου ἐννοεῖν,

ὅτι οὐδὲν οὕτως φιλεῖ ἡ τῶν ὅλων φύσις, ὡς τὸ, τὰ ὄντα μεταβάλλειν, καὶ ποιεῖν νέα ὅμοια. σπέρμα γὰρ τρόπον τινὰ πᾶν τὸ ὂν τοῦ ἐξ αὐτοῦ ἐσομένου. σὺ δὲ μόνα σπέρματα φαντάζει, τὰ εἰς γῆν, ἢ μήτραν καταβαλλόμενα· τοῦτο δὲ λίαν ἰδιωτικόν. Ἤδη τεθνήξη, καὶ οὔπω οὔτε ἁπλοῦς, οὔτε ἀτάραχος, οὔτε ἀνύποπτος τοῦ βλαβῆναι ἂν ἔξωθεν, οὔτε ἵλεως πρὸς πάντας· οὔτε τὸ φρονεῖν ἐν μόνῳ τῷ δικαίῳ πραγεῖν τιθέμενος. Τὰ ἡγεμονικὰ αὐτῶν διάβλεπε, καὶ τοὺς φρονίμους, οἷα μὲν φεύγουσιν, οἷα δὲ διώκουσιν. Ἐν ἀλλοτρίῳ ἡγεμονικῷ κακὸν σὸν οὐχ ὑφίσταται, οὐδὲ μὴν ἔν τινι τροπῇ καὶ ἑτεροιώσει τοῦ περιέχοντος. ποῦ οὖν; ὅπου τὸ περὶ κακῶν ὑπολαμβάνον σοί ἐστι. τοῦτο οὖν μὴ ὑπολαμβανέτω, καὶ πάντα εὖ ἔχει· κἂν τὸ ἐγγυτάτω αὐτοῦ τὸ σωμάτιον τέμνηται, καίηται, διαπυΐσκηται, σήπηται, ὅμως τὸ ὑπολαμβάνον περὶ τούτων μόριον, ἡσυχαζέτω. τουτέστι. κρινέτω μήτε κακόν τι εἶναι, μήτε ἀγαθὸν, ὃ ἐπίσης δύναται κακῷ ἀνδρὶ καὶ ἀγαθῷ συμβαίνειν. ὃ γὰρ καὶ τῷ κατὰ φύσιν βιοῦντι ἐπίσης συμβαίνει. οὔτε τοῦτο κατὰ φύσιν ἐστὶν, οὔτε παρὰ φύσιν. Ὡς ἓν ζῷον τὸν κόσμον, μίαν οὐσίαν, καὶ ψυχὴν μίαν ἐπέχον, συνεχῶς ἐπινοεῖν. καὶ πῶς εἰς αἴσθησιν μίαν, τὴν τούτου πάντα ἀναδίδοται, καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει. καὶ πῶς

πάντα

ταῦτα πάντα τῶν γινομένων συναίτια. καὶ οἵα τις ἡ σύννησις καὶ συμμήρυσις. ψυχάριον εἶ βαστάζον νεκρὸν, ὡς Ἐπίκτητος ἔλεγεν. οὐδέν ἐστι κακὸν, τοῖς ἐν μεταβολῇ γινομένοις. ὡς οὐδὲ ἀγαθὸν, ἐκ μεταβολῆς ὑφισταμένοις. ποταμός τις ἐκ τῶν γινομένων καὶ ῥεῦμα βίαιον ὁ αἰών. ἅμα τε γὰρ ὤφθη ἕκαστον καὶ παρενήνεκται, καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται. πᾶν τὸ συμβαῖνον οὕτως σύνηθες καὶ γνώριμον, ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι, καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γὰρ καὶ νόσος, καὶ θάνατος, καὶ βλασφημία καὶ ἐπιβουλὴ, καὶ ὅσα τοὺς μωροὺς εὐφραίνει ἢ λυπεῖ· τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται. οὐ γὰρ οἷον καταρίθμησίς τις ἐστὶν ἀπηρτημένως, καὶ μόνον τὸ κατηναγκασμένον ἔχουσα. ἀλλὰ συνάφεια εὔλογος, καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα. οὕτως τὰ γινόμενα οὐ διαδοχὴν, ψιλὴν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει. Ἀεὶ τοῦ ἡρακλειτείου μεμνῆσθαι· ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι· καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι· καὶ ἀέρος, πῦρ· καὶ ἔμπαλιν. Μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ᾗ ἡ ὁδὸς ἄγει. καὶ ὅτι ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ, τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται. καὶ οἷς καθ᾽ ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται. καὶ

ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν. καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν. καὶ ὅτι οὐ δεῖ παῖδας τοκέων ὧν τοῦτ᾽ ἔστι κατὰ ψιλὸν καθότι παρειλήφαμεν. Ὥσπερ εἴ τις σοι θεῶν εἴποι, ὅτι αὔριον τεθνήξῃ, ἢ πάντως εἰς τρίτην, οὐκ ἔτ᾽ ἂν παρὰ μέγα ἐποιοῦ, τὸ εἰς τρίτην μᾶλλον, ἢ αὔριον, εἴγε μὴ ἐσχάτως ἀγεννὴς εἶ· πόσον γάρ ἐστι τὸ μεταξύ; οὕτως καὶ τὸ εἰς πολλοστὸν ἔτος μᾶλλον, ἢ αὔριον, μηδὲν μέγα εἶναι νόμιζε· Ἐννοεῖν συνεχῶς· πόσοι μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀρρώστων συσπάσαντες. πόσοι δὲ μαθηματικοὶ, ἄλλων θανάτους ὥς τι μέγα προειπόντες; πόσοι δὲ φιλόσοφοι περὶ θανάτου ἢ ἀθανασίας μυρία διατεινάμενοι; πόσοι δὲ ἀριστεῖς πολλοὺς ἀποκτείναντες; πόσοι δὲ τύραννοι ἐξουσίᾳ ψυχῶν μετὰ δεινοῦ φρυάγματος ὡς ἀθάνατοι κεχρημένοι; πόσαι δὲ πόλεις ὅλαι, ἵν᾽ οὕτως εἴπω, τεθνήκασιν· Ἑλίκη, καὶ Πομπήιοι, καὶ Ἡρακλανον, καὶ ἄλλαι ἀναρίθμητοι. Ἔπιθι δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ᾽ ἄλλῳ, ὁ μὲν τοῦτον κηδεύσας, εἶτα ἐξετάθη, ὁ δὲ ἐκεῖνον. πάντα δὲ ἐν βραχεῖ. τὸ γὰρ ὅλα κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα ὡς ἐφήμερα καὶ εὐτελῆ. καὶ ἐχθὲς μὲν μυξάριον. αὔριον δὲ τάριχος, ἢ τέφρα. τὸ ἀκαριαῖον οὖν τοῦτο τοῦ

χρόνου

χρόνου κατὰ φύσιν διελθεῖν, καὶ ἵλεων καταλῦσαι· ὡς ἂν εἰ ἐλαία πέπειρος γενομένη, ἔπιπτεν, εὐφημοῦσα τὴν ἐνεγκοῦσαν, καὶ χάριν εἰδυῖα τῷ φύσαντι δένδρῳ. Ὅμοιον εἶναι τῇ ἄκρᾳ, ᾗ διηνεκῶς τὰ κύματα προσρήσσεται. ἡ δὲ ἕστηκε καὶ περὶ αὐτὴν κοιμίζεται τὰ φλεγμήναντα τοῦ ὕδατος. Ἀτυχὴς ἐγὼ ὅτι τοῦτό μοι συνέβη. οὐμενοῦν, ἀλλ' εὐτυχὴς ἐγὼ, ὅτι τούτου μοι συμβεβηκότος, ἄλυπος διατελῶ, οὔτε ὑπὸ τοῦ παρόντος θραυόμενος, οὔτε ἐπιὸν φοβούμενος. συμβῆναι μὲν γὰρ τὸ τοιοῦτο παντὶ ἐδύνατο· ἄλυπος δὲ οὐ πᾶς ἐπὶ τούτῳ ἂν διετέλεσεν. Διὰ τί οὖν ἐκεῖνο μᾶλλον ἀτύχημα, ἢ τοῦτο εὐτύχημα; λέγεις δὲ ὅλως ἀτύχημα ἀνθρώπου. ὃ οὐκ ἔστιν ἀπότευγμα τῆς φύσεως τοῦ ἀνθρώπου. ἀπότευγμα δὲ τῆς φύσεως τοῦ ἀνθρώπου εἶναί σοι δοκεῖ, ὃ μὴ παρὰ τὸ βούλημα τῆς φύσεως αὐτοῦ ἐστι. Τί οὖν τὸ βούλημα; μεμάθηκας; μή τι οὖν τὸ συμβεβηκὸς τοῦτο κωλύσει δίκαιον εἶναι; μεγαλόψυχον; σώφρονα; ἔμφρονα; ἀπρόπτωτον; ἀδιάψευστον; αἰδήμονα; ἐλεύθερον; τ' ἄλλα ἃ συμπαρόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴδια. Μέμνησο λοιπὸν ἐπὶ παντὸς τοῦ εἰς λύπην σε προαγομένου, τούτῳ χρῆσθαι τῷ δόγματι. οὐχ ὅτι τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως, εὐτύχημα. ἰδιωτικὸν μὲν, ὅμως δὲ ἀνυτικὸν βοήθη-

μα πρὸς θανάτου καταφρόνησιν, ἡ ἀναπόλησις τῶν γλίσχρως ἐνδιατριψάντων τῷ ζῆν. τί οὖν αὐτοῖς πλέον, ἢ τοῖς ἀώροις; πάντως πούποτε κεῖνται, Καδικιανός, Φάβιος, Ἰουλιανός, Λέπιδος. ἢ εἴ τις τοιοῦτος, οἳ πολλοὺς ἐξενήνεγκαν, εἶτα ἐξηνέχθησαν. ὅλον μικρόν ἐστι τὸ διάστημα, καὶ τοῦτο δι' ὅσων, καὶ μεθ' οἵων ἐξαντλούμενον, καὶ ἐν οἵῳ σωματίῳ; μὴ οὖν ὡς πρᾶγμα. βλέπε γὰρ ὀπίσω τὸ ἀχανὲς τοῦ αἰῶνος, καὶ τὸ πρόσω ἄλλο ἄπειρον. ἐν δὴ τούτῳ, τί διαφέρει ὁ τριήμερος τοῦ τριγερηνίου. Ἐπὶ τὴν σύντομον ἀεὶ τρέχε. σύντομος δὲ ἡ κατὰ φύσιν. ὥστε κατὰ τὸ ὑγιέστατον πᾶν λέγειν καὶ πράσσειν. ἀπαλλάσσει γὰρ ἡ τοιαύτη πρόθεσις, κόπων, καὶ στρατείας, καὶ πάσης οἰκονομίας καὶ κομψείας.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙνου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον ε.

ὌΡΘΡΟΥ ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι. τί οὖν δυσκολαίνω εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα, καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον. ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος τοῖς στρωματίοις ἐμαυτὸν θάλπω. ἀλλὰ τοῦτο ἥδιον. πρὸς τὸ ἥδεσθαι οὖν γέγονας, ὅλως δὲ οὐ πρὸς ποιεῖν ἢ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας, τὸν καθ᾽ αὑτὰς συγκοσμούσας κόσμον· σὺ δὲ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν; ἀλλὰ δεῖ καὶ ἀναπαύεσθαι. δεῖ. ἔδωκε καὶ τούτου μέτρα ἡ φύσις. ἔδωκε μὲν καὶ τοῦ ἐσθίειν, καὶ πίνειν· καὶ ὅμως σὺ, ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς. ἐν ταῖς πράξεσι, δὲ οὐκέτι ἀλλ᾽ ἐντὸς τοῦ δυνατοῦ. οὐ γὰρ φιλεῖς σεαυτόν. ἐπεί τοι καὶ τὴν φύσιν αὐτοῦ, καὶ τὸ βούλημα ταύτης ἐφίλεις. ἄλλοι τε τὰς

κὸς τῶν ποιητέων, ἢ μὴ λόγος κοινός· εἰ τοῦτο, καὶ ὁ νόμος κοινός. εἰ τοῦτο, πολῖταί ἐσμεν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί. τίνος γὰρ ἄλλου φήσει τις, τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δὲ ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν, ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, τὸ δὲ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου, καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινος, καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μηδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται) οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον, σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων εἰς ταυτά, ὅλως δ' οὐκ ἐφ' ᾧ αἰσχυνθείη. οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζώῳ, οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι ἐξ ἀνάγκης. ὁ δὲ τοῦτο μὴ θέλων, θέλει τὴν συκῆν ὀπὸν μὴ ἔχειν. ὅλως δ' ἐκεῖνο μέμνησο, ὅτι ἐντὸς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε· μετὰ βραχὺ δέ, οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ βέβλαμμαι. ἆρον τὸ βέβλαμμαι, ἦρται ἡ βλάβη. ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον

αὐτοῦ

αὐτοῦ χείρω ποιεῖ, οὐδὲ βλάπτει, οὔτε ἔξωθεν, οὔτε ἔνδοθεν. ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν. ὅτι πᾶν τὸ συμβαῖνον, δικαίως συμβαίνει. ὃ ἐὰν ἀκριβῶν παραφυλάσσῃς, εὑρήσεις, οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον, καὶ ὡς ἂν ὑπό τινος ἀπονέμοντος τὸ κατ' ἀξίαν. παραφύλασσε οὖν ὡς ἤρξω· καὶ ὅ, τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τὸ ἀγαθὸς εἶναι· καθ' ὃ νενόηται ἰδίως ὁ ἀγαθός, τοῦτο ἐπὶ πάσης ἐνεργείας σῶζε. Μὴ τοιαῦτα ὑπολάμβανε, οἷα ὁ ὑβρίζων κρίνει, ἢ οἷά σε κρίνειν βούλεται. ἀλλὰ ἴδε αὐτά, ὁποῖα κατ' ἀλήθειάν ἐστι. δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ, τὴν μέν, πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ, ἐπ' ὠφελείᾳ ἀνθρώπων. τὴν δέ, πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. Τὴν μέντοι μεταγωγήν, ἀεὶ ἀπό τινος πιθανότητος ὡς δικαίου, ἢ κοινωφελοῦς γίνεσθαι, καὶ τὰ παραπλήσια τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη. Λόγον ἔχεις; ἔχω. τί οὖν οὐ χρᾷ; τούτου γὰρ τὸ ἑαυτοῦ ποιοῦντος, τί ἄλλο θέλεις; Ἐνυπέστης ὡς μέρος ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν. Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ

αὐτοῦ βωμοῦ, ὁ μὲν προκατέπεσεν, ὁ δ' ὕστε-
ρον. διαφέρει δ' οὐδέν. Ἐντὸς δέκα ἡμερῶν
θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίον καὶ πίθη-
κος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα, καὶ τὸν
σεβασμὸν τοῦ λόγου. μὴ ὡς μύρια μέλλων ἔτη
ζῆν. τὸ χρεὼν ἐπήρτηται, ἕως ζῇς, ἕως ἔξεστιν,
ἀγαθὸς γένου. Ὅσην ἀσχολίαν κερδαίνει ὁ μὴ βλέ-
πων, τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη·
ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δί-
καιον ᾖ, καὶ ὅσιον, ἢ κατὰ τὸν ἀγαθὸν μὴ μέλαν
ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς
τρέχειν ὀρθόν, μὴ διερριμμένον. Ὁ περὶ τὴν ὑ-
στεροφημίαν ἐπτοημένος οὐ φαντάζεται, ὅτι ἕ-
καστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐ-
τὸς ἀποθανεῖται. εἶτα πάλιν καὶ αὐτὸς ὁ ἐκεῖ-
νον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀ-
ποσβῇ διὰ ἐπτοημένων καὶ σβεννυμένων προϊοῦσα.
ὑπόθου δ' ὅτι καὶ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι,
ἀθάνατος δ' ἡ μνήμη, τί οὖν τοῦτο πρὸς σέ; καὶ
οὐδὲν λέγω ὅτι πρὸς τὸν τεθνηκότα, ἀλλὰ πρὸς
τὸν ζῶντα. τί ὁ ἔπαινος. πλὴν ἄρα δι' οἰκονο-
μίαν τινά· πάρες γὰρ νῦν ἀκαίρως τὴν φυσι-
κὴν δόσιν, ἄλλου τινὸς ἐχόμενον λόγου λοιπόν.
Πᾶν δὲ καὶ ὁπωσοῦν καλόν, ἐξ ἑαυτοῦ καλόν
ἐστι, καὶ ἐφ' ἑαυτὸ καταλήγει, οὐκ ἔχον μέρος ἑαυ-
τοῦ τὸν ἔπαινον· οὔτε γοῦν χεῖρον ἢ κρεῖττον γίνε-
ται

ται τὸ ἐπαινούμενον. τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων· οἷον ἐπὶ τῶν ὑλικῶν, καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων. Τὸ δὲ δὴ ὄντως καλὸν τινὸς χρείαν ἔχει, οὐ μᾶλλον ἢ νόμος, οὐ μᾶλλον ἢ ἀλήθεια· οὐ μᾶλλον ἢ εὔνοια, ἢ αἰδώς, τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον φθείρεται; σμαράγδιον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσός, ἐλέφας, πορφύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον; Εἰ διαμένουσιν αἱ ψυχαί, πῶς αὐτὰς ἐξ ἀϊδίου χωρεῖ ὁ ἀήρ· πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα· ὥσπερ γὰρ ἐνθάδε, ἡ τούτων πρὸς ἥν τινα ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νεκροῖς ποιεῖ, οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαί, ἐπὶ ποσὸν συμμείνασαι μεταβάλλουσι, καὶ χέονται, καὶ ἐξάπτονται, εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι. καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσσυνοικιζομέναις παρέχουσι. Τοῦτο δ᾽ ἄν τις ἀποκρίναιτο, ἐφ᾽ ὑποθέσει τοῦ τὰς ψυχὰς διαμένειν. χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι τὸ πλῆθος τῶν θαπτομένων οὑτωσὶ σωμάτων, ἀλλὰ καὶ τὸ τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζώων, ὑφ᾽ ἡμῶν τε καὶ τῶν ἄλλων ζώων. ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται, καὶ οὑτωσί πως θάπτεται ἐν τοῖς τῶν

τρεφο-

τρεφομένων σώμασι, καὶ ὅμως δέχεται ἡ χώρα αὕτη διὰ τὰς ἐξαιματώσεις, διὰ τὰς εἰς τὸ ἀερῶδες ἢ πυρῶδες ἀλλοιώσεις. τίς οὖν τούτου ἡ ἱστορία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικὸν, καὶ εἰς τὸ αἰτιῶδες. μὴ ἀποῤῥέμβεσθαι, ἀλλ' ἐπὶ πάσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι· καὶ ἐπὶ πάσης φαντασίας σώζειν τὸ καταληπτικόν. πᾶν μοι συναρμόζει, ὃ σοὶ εὐάρμοστόν ἐστι, ὦ κόσμε. οὐδέν μοι πρόωρον, οὐδὲ ὄψιμον, τὸ σοὶ εὔκαιρον· πᾶν μοι καρπὸς, ὃ φέρουσιν αἱ σαὶ ὧραι. ὦ φύσις, ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. ἐκεῖνος μέν φησι, πόλι φίλη Κέκροπος. σὺ δὲ οὐκ ἐρεῖς, ὦ πόλι φίλη Διός; ὀλίγα πρῆσσε φησὶν, εἰ μέλλεις εὐθυμήσειν· μηδὲ ἄμεινον τοῦ ἀναγκαῖα πράσσειν, καὶ ὅσα ὁ τοῦ φύσει πολιτικοῦ ζώου λόγος αἱρεῖ, καὶ ὡς αἱρεῖ. τοῦτο γὰρ οὐ μόνον τὴν ἀπὸ τοῦ καλῶς πράσσειν εὐθυμίαν φέρει, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὀλίγα πράσσειν. τὰ πλεῖστα γὰρ ὧν λέγομεν καὶ πράσσομεν, οὐκ ἀναγκαῖα ὄντα, ἐάν τις περιέλῃ, εὐσχολώτερος καὶ ἀταραχώτερος ἔσται. ὅθεν δεῖ καὶ παρ' ἕκαστα ἑαυτὸν ὑπομιμνήσκειν, μή τι τοῦτο οὐ τῶν ἀναγκαίων. Δεῖ δὲ μὴ μόνον πράξεις τὰς μὴ ἀναγκαίας περιαιρεῖν, ἀλλὰ καὶ φαντασίας· οὕτως γὰρ οὐδὲ πράξεις παρέλκουσαι ἐπακολουθήσουσι. Πείρασον πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος,

τοῦ

τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ διαθέσει εὐμενεῖ. ἑώρακας ἐκεῖνα, ἴδε καὶ ταῦτα. σεαυτὸν μὴ τάρασσε. ἅπλωσον σεαυτόν. ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. Συμβέβηκέ σοί τι καλῶς, ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς σοι συγκαθείμαρτο, καὶ συνεκλώθετο πᾶν τὸ συμβαῖνον. τὸ δ' ὅλον βραχὺς ὁ βίος· κερδαντέον τὸ παρὸν σὺν εὐλογιστίᾳ καὶ δίκῃ, νῆφε ἀνειμένος.

Ἤτοι κόσμος διατεταγμένος, ἢ κυκεὼν, συμπεφορημένος μὲν, ἀλλὰ κόσμος. ἢ ἐν σοὶ μέν τις κόσμος ὑφίστασθαι δύναται, ἐν δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα, οὕτως πάντων διακεκριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν. Μέλαν ἦθος, θῆλυ ἦθος, περισκελὲς ἦθος, θηριῶδες, βοσκηματῶδες, παιδαριῶδες, βλακικὸν, κίβδηλον, βωμολόχον, καπηλικὸν, τυραννικόν. Εἰ ξένος κόσμου ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος, καὶ ὁ μὴ γνωρίζων τὰ γιγνόμενα, φυγὰς ὁ φεύγων τὸν πολιτικὸν λόγον, τυφλὸς ὁ καταμύων τῷ νοερῷ ὄμματι. πτωχὸς ὁ ἐνδεὴς ἑτέρου, καὶ μὴ πάντα ἔχων παρ' ἑαυτοῦ τὰ εἰς τὸν βίον χρήσιμα. ἀπόστημα κόσμου ὁ ἀφιστάμενος, καὶ χωρίζων ἑαυτὸν τοῦ τῆς κοινῆς φύσεως λόγου, διὰ τοῦ δυσαρεστεῖν τοῖς συμβαίνουσιν. ἐκείνη γὰρ φέρει τοῦτο, ἣ καὶ σὲ ἤνεγκεν. ἀπόσχισμα πόλεως ὁ τὴν ἰδίαν

ψυχὴν

ψυχὴν τῆς τῶν λογικῶν ἀρχίζων, μιᾶς οὔσης. ὁ μὲν χωρὶς χιτῶνος φιλοσοφεῖ, ὁ δὲ χωρὶς βι-
βλίου, ἄλλος οὗτος ἡμίγυμνος. ἄρτους οὐκ
ἔχω φησὶ, καὶ ἐμμένω τῷ λόγῳ. ἐγὼ δὲ τροφὰς
τὰς ἐκ μαθημάτων οὐκ ἔχω, καὶ ἐμμένω. Τὸ τε-
χνίον ὃ ἔμαθες φίλει, τούτῳ προσαναπαύου, τὸ
δὲ ὑπόλοιπον τοῦ βίου διέξελθε, ὡς θεοῖς μὲν ἐπι-
τετροφὼς τὰ σεαυτοῦ πάντα ἐξ ὅλης τῆς ψυχῆς,
ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον, μήτε δοῦ-
λον ἑαυτὸν καθιστάς. Ἐπινόησον λόγου χάριν τοὺς
ἐπὶ Οὐεσπασιανοῦ καιροὺς, ὄψει ταῦτα πάντα·
γαμοῦντας, παιδοτροφοῦντας, νοσοῦντας, ἀπο-
θνήσκοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπο-
ρευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθα-
διζομένους, ὑποπτεύοντας, ἐπιβουλεύοντας, ἀ-
ποθανεῖν τινὰς εὐχομένους, γογγύζοντας ἐπὶ τοῖς
παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας,
βασιλείας ἐπιθυμοῦντας. οὐκοῦν ἐκεῖνος μὲν ὁ τού-
των βίος, οὐκ ἔτι οὐδαμοῦ. πάλιν ἐπὶ τοὺς καιροὺς τοὺς
Τραϊανοῦ μετάβηθι· πάλιν τὰ αὐτὰ πάντα. τέ-
θνηκε κἀκεῖνος ὁ βίος. ὁμοίως καὶ τὰς ἄλλας ἐπι-
γραφὰς χρόνων καὶ ὅλων ἐθνῶν ἐπιθεωρεῖν καὶ βλέ-
πε πόσοι κατενταθέντες, μετὰ μικρὸν ἔπεσον,
καὶ ἀνελύθησαν εἰς τὰ στοιχεῖα. Μάλιστα δὲ ἀναπο-
λητέον ἐκείνους οὓς αὐτὸς ἔγνως κενὰ σπωμένους,
ἀφέντας ποιεῖν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν, καὶ

τούτου

τούτου ἀπρὶξ ἔχεσθαι, καὶ τούτῳ ἀρκεῖσθαι. Ἀνα-
γκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἐπιστροφὴ καθ᾽
ἑκάστην πρᾶξιν, ἰδίαν ἀξίαν ἔχει καὶ συμμετρίαν.
οὕτως γὰρ οὐκ ἀποδυσπετήσεις, ἐὰν μὴ ἐπὶ
πλέον ἢ προσῆκε περὶ τὰ ἐλάσσω καταγίνῃ.
Αἱ πάλαι συνήθεις λέξεις, γλωσσήματα νῦν.
οὕτως οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πο-
λυϋμνήτων, νῦν τρόπον τινὰ γλωσσήματά ἐστιν.
Κάμιλλος, Καίσων, Οὐόλεσος, Λεοννάτος.
κατ᾽ ὀλίγον δὲ καὶ Σκιπίων, καὶ Κάτων, εἶτα
καὶ Αὔγουστος, εἶτα καὶ Ἀδριανὸς, καὶ Ἀντω-
νῖνος· ἐξίτηλα γὰρ πάντα, καὶ μυθώδη τα-
χὺ γίνεται. ταχὺ δὲ καὶ παντελὴς λήθη κατέχωσαν.
καὶ ταῦτα λέγω ἐπὶ τῶν θαυμαστῶς πως λαμ-
ψάντων. οἱ γὰρ λοιποὶ ἅμα τῷ ἐκπνεῦσαι,
ἄϊστοι, ἄπυστοι. Τί δὲ καὶ ἐστὶν ὅλως τὸ ἀείμνηστον; ὅλον
κενόν. Τί οὖν ἐστι περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι;
ἓν τοῦτο, διάνοια δικαία, καὶ πράξεις κοινονικαὶ,
καὶ λόγος οἷος μήποτε διαψεύσασθαι, καὶ διάθεσις
ἀσπαζομένη πᾶν τὸ συμβαῖνον ὡς ἀναγκαῖον,
ὡς γνώριμον, ὡς ἀπ᾽ ἀρχῆς τοιαύτης καὶ πηγῆς
ῥέον· ἑκὼν σεαυτὸν τῇ Κλωθοῖ συνεπιδίδου,
παρέχων συνῆσαι, οἷς ποτε πράγμασι βού-
λεται· πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον, καὶ τὸ
μνημονευόμενον, θεώρει διηνεκῶς πάντα κατὰ με-
ταβολὴν γινόμενα γίνεται· καὶ ἐθίζου ἐννοεῖν,

ὅτι οὐδὲν οὕτως φιλεῖ ἡ τῶν ὅλων φύσις, ὡς τὸ, τὰ ὄντα μεταβάλλειν, καὶ ποιεῖν νέα ὅμοια. σπέρμα γὰρ τρόπον τινὰ πᾶν τὸ ὂν τοῦ ἐξ αὐτοῦ ἐσομένου. σὺ δὲ μόνα σπέρματα φαντάζῃ, τὰ εἰς γῆν, ἢ μήτραν καταβαλλόμενα· τοῦτο δὲ λίαν ἰδιωτικόν. Ἤδη τεθνήξῃ, καὶ οὔπω οὔτε ἁπλοῦς, οὔτε ἀτάραχος, οὔτε ἀνύποπτος τοῦ βλαβῆναι ἂν ἔξωθεν, οὔτε ἵλεως πρὸς πάντας· οὔτε τὸ φρονεῖν ἐν μόνῳ τῷ δικαίῳ πραγεῖν τιθέμενος. Τὰ ἡγεμονικὰ αὐτῶν διάβλεπε, καὶ τοὺς φρονίμους, οἷα μὲν φεύγουσιν, οἷα δὲ διώκουσιν. Ἐν ἀλλοτρίῳ ἡγεμονικῷ κακὸν σὸν οὐχ ὑφίσταται, οὐδὲ μὴν ἔν τινι τροπῇ καὶ ἑτεροιώσει τοῦ περιέχοντος. ποῦ οὖν; ὅπου τὸ περὶ κακῶν ὑπολαμβάνον σοι ἐστί. τοῦτο οὖν μὴ ὑπολαμβανέτω, καὶ πάντα εὖ ἔχει· κἂν τὸ ἐγγυτάτω αὐτοῦ τὸ σωμάτιον τέμνηται, καίηται, διαπυΐσκηται, σήπηται, ὅμως τὸ ὑπολαμβάνον περὶ τούτων μόριον, ἡσυχαζέτω. τουτέστι. κρινέτω μήτε κακόν τι εἶναι, μήτε ἀγαθόν, ὃ ἐπίσης δύναται κακῷ ἀνδρὶ καὶ ἀγαθῷ συμβαίνειν. ὃ γὰρ καὶ τῷ κατὰ φύσιν βιοῦντι ἐπίσης συμβαίνει. οὔτε τοῦτο κατὰ φύσιν ἐστίν, οὔτε παρὰ φύσιν. Ὡς ἓν ζῶον τὸν κόσμον, μίαν οὐσίαν, καὶ ψυχὴν μίαν ἐπέχον, συνεχῶς ἐπινοεῖν. καὶ πῶς εἰς αἴσθησιν μίαν, τὴν τούτου πάντα ἀναδίδοται. καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει. καὶ πῶς

παραίτια πάντων τῶν γινομένων συναίτια. καὶ οἵα τις ἡ σύννησις καὶ συμμήρυσις. ψυχάριον εἶ βαστάζον νεκρόν, ὡς Ἐπίκτητος ἔλεγεν. οὐδέν ἐστι κακὸν, τοῖς ἐν μεταβολῇ γινομένοις. ὡς οὐδὲ ἀγαθὸν, ἐκ μεταβολῆς ὑφισταμένοις. ποταμός τις ἐκ τῶν γινομένων καὶ ῥεῦμα βίαιον ὁ αἰών. ἅμα τε γὰρ ὤφθη ἕκαστον καὶ παρενήνεκται, καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται. πᾶν τὸ συμβαῖνον οὕτως σύνηθες καὶ γνώριμον, ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι, καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γοῦν καὶ νόσος, καὶ θάνατος, καὶ βλασφημία καὶ ἐπιβουλὴ, καὶ ὅσα τοὺς μωροὺς εὐφραίνει ἢ λυπεῖ· τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται. οὐ γὰρ οἷον καταρίθμησίς τις ἐστὶν ἀπηρτημένως, καὶ μόνον τὸ κατηναγκασμένον ἔχουσα. ἀλλὰ συνάφεια εὔλογος, καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα. οὕτως τὰ γινόμενα οὐ διαδοχὴν, ψιλὴν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει. Ἀεὶ τοῦ ἡρακλειτείου μεμνῆσθαι· ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι· καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι· καὶ ἀέρος, πῦρ· καὶ ἔμπαλιν. Μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ᾗ ἡ ὁδὸς ἄγει. καὶ ὅτι ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ, τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται. καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται. καὶ

ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν. καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν. καὶ ὅτι οὐ δεῖ παῖδας τοκέων ὧν τοῦτ' ἐστι κατὰ ψιλὸν καθότι παρειλήφαμεν. Ὥσπερ εἴ τις σοι θεῶν εἴπεν, ὅτι αὔριον τεθνήξῃ, ἢ πάντως εἰς τρίτην, οὐκ ἔτ' ἂν παρὰ μέγα ἐποιοῦ, τὸ εἰς τρίτην μᾶλλον, ἢ αὔριον, εἴγε μὴ ἐσχάτως ἀγεννὴς εἶ· πόσον γάρ ἐστι τὸ μεταξύ; οὕτως καὶ τὸ εἰς πολλοστὸν ἔτος μᾶλλον, ἢ αὔριον, μηδὲν μέγα εἶναι νόμιζε. Ἐννοεῖν συνεχῶς· πόσοι μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀῤῥώστων συσπάσαντες. πόσοι δὲ μαθηματικοὶ, ἄλλων θανάτους ὥς τι μέγα προειπόντες; πόσοι δὲ φιλόσοφοι περὶ θανάτου ἢ ἀθανασίας μυρία διατεινάμενοι; πόσοι δὲ ἀριστεῖς πολλοὺς ἀποκτείναντες; πόσοι δὲ τύραννοι ἐξουσίᾳ ψυχῶν μετὰ δεινοῦ φρυάγματος ὡς ἀθάνατοι κεχρημένοι; πόσαι δὲ πόλεις ὅλαι, ἵν' οὕτως εἴπω, τεθνήκασιν· Ἑλίκη, καὶ Πομπήιοι, καὶ Ἡρακλάνον, καὶ ἄλλαι ἀναρίθμητοι. Ἔπιθι δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ' ἄλλῳ, ὁ μὲν τοῦτον κηδεύσας, εἶτα ἐξετάθη, ὁ δὲ ἐκεῖνον. πάντα δὲ ἐν βραχεῖ. τὸ γὰρ ὅλα κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα ὡς ἐφήμερα καὶ εὐτελῆ. καὶ ἐχθὲς μὲν μυξάριον. αὔριον δὲ τάριχος, ἢ τέφρα. τὸ ἀκαριαῖον οὖν τοῦτο τοῦ

χρόνου

χρόνου κατὰ φύσιν διελθεῖν, καὶ ἵλεων καταλῦσαι· ὡς ἂν εἰ ἐλαία πέπειρος γενομένη, ἔπιπτεν, εὐφημοῦσα τὴν ἐνεγκοῦσαν, καὶ χάριν εἰδυῖα τῷ φύσαντι δένδρῳ. Ὅμοιον εἶναι τῇ ἄκρᾳ, ᾗ διηνεκῶς τὰ κύματα προσρήσσεται. ἡ δὲ ἕστηκε καὶ περὶ αὐτὴν κοιμίζεται τὰ φλεγμήναντα τοῦ ὕδατος. Ἀτυχὴς ἐγὼ ὅτι τοῦτό μοι συνέβη. οὐμενοῦν, ἀλλ' εὐτυχὴς ἐγώ, ὅτι τούτου μοι συμβεβηκότος, ἄλυπος διατελῶ, οὔτε ὑπὸ παρόντος θραυόμενος, οὔτε ἐπιὸν φοβούμενος. συμβῆναι μὲν γὰρ τὸ τοιοῦτο παντὶ ἐδύνατο· ἄλυπος δὲ οὐ πᾶς ἐπὶ τούτῳ ἂν διετέλεσεν. διὰ τί οὖν ἐκεῖνο μᾶλλον ἀτύχημα, ἢ τοῦτο εὐτύχημα; λέγεις δὲ ὅλως ἀτύχημα ἀνθρώπου. ὃ οὐκ ἔστιν ἀπότευγμα τῆς φύσεως τοῦ ἀνθρώπου. ἀπότευγμα δὲ τῆς φύσεως τοῦ ἀνθρώπου εἶναί σοι δοκεῖ, ὃ μὴ παρὰ τὸ βούλημα τῆς φύσεως αὐτοῦ ἐστί. Τί οὖν τὸ βούλημα; μεμάθηκας; μή τι οὖν τὸ συμβεβηκὸς τοῦτο κωλύει σε δίκαιον εἶναι; μεγαλόψυχον; σώφρονα; ἔμφρονα; ἀπρόπτωτον; ἀδιάψευστον; αἰδήμονα; ἐλεύθερον; τ' ἄλλα ὧν συμπαρόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴδια. Μέμνησο λοιπὸν ἐπὶ παντὸς τοῦ εἰς λύπην σε προαγομένου, τούτῳ χρῆσθαι τῷ δόγματι. οὐχ ὅτι τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως, εὐτύχημα. ἰδιωτικὸν μὲν, ὅμως δὲ ἀνυτικὸν βοήθη-

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙ-ΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ε.

ὌΡΘΡΟΥ ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι. τί οὖν δυσκολαίνω εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα, καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον. ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος τοῖς στρωματίοις ἐμαυτὸν θάλπω. ἀλλὰ τοῦτο ἥδιον. πρὸς τὸ ἥδεσθαι οὖν γέγονας, ὅλως δὲ οὐ πρὸς ποιεῖν ἢ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας, τὸν καθ᾽ αὑτὰς συγκοσμούσας κόσμον· σὺ δ᾽ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν; ἀλλὰ δεῖ καὶ ἀναπαύεσθαι. δεῖ. ἔδωκε καὶ τούτου μέτρα ἡ φύσις. ἔδωκε μέντοι καὶ τοῦ ἐσθίειν, καὶ πίνειν· καὶ ὅμως σὺ, ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς. ἐν ταῖς πράξεσι, δ᾽ οὐκ ἔτι ἀλλ᾽ ἐντὸς τοῦ δυνατοῦ. οὐ γὰρ φιλεῖς σεαυτόν. ἐπεί τοι καὶ τὴν φύσιν ἄν σου, καὶ τὸ βούλημα ταύτης ἐφίλεις. ἄλλοι τε τὰς

τέχνας ἑαυτῶν φιλοῦντες, συγκατατήκονται τοῖς κατ' αὐτὰς ἔργοις, ἄλουτοι καὶ ἄσιτοι. σὺ τὴν φύσιν τὴν σαυτοῦ ἔλασσον τιμᾷς, ἢ ὁ τορευτὴς τὴν τορευτικήν. ἢ ὁ ὀρχηστὴς τὴν ὀρχηστικήν· ἢ ὁ φιλάργυρος τὸ ἀργύριον· ἢ ὁ κενόδοξος τὸ δοξάριον. καὶ οὗτοι ὅταν προσπαθῶσιν, οὔτε φαγεῖν, οὔτε κοιμηθῆναι θέλουσι μᾶλλον, ἢ ταῦτα συναύξειν πρὸς ἃ φέρονται. σοὶ δὲ αἱ κοινωνικαὶ πράξεις εὐτελέστεραι φαίνονται, καὶ ἥσσονος σπουδῆς ἄξιαι; Ὡς εὔκολον ἀπώσασθαι, καὶ ἀπαλεῖψαι πᾶσαν φαντασίαν τὴν ὀχληρὰν, ἢ ἀνοίκειον, καὶ εὐθὺς ἐν πάσῃ γαλήνῃ εἶναι. Ἄξιον ἑαυτὸν κρῖνε παντὸς λόγου καὶ ἔργου, τοῦ κατὰ φύσιν, καὶ μή σε παρασπάτω ἡ ἐπακολουθοῦσα τινῶν μέμψις. ἢ λόγος. ἀλλὰ εἰ καλὸν πεπρᾶχθαι, ἢ εἰρῆσθαι, μὴ σεαυτὸν ἀπαξίου. ἐκεῖνοι μὲν γὰρ, ἴδιον ἡγεμονικὸν ἔχουσι, καὶ ἰδίᾳ ὁρμῇ χρῶνται. ἃ σὺ μὴ περίβλεπε, ἀλλ' εὐθεῖαν πέραινε, ἀκολουθῶν τῇ φύσει τῇ ἰδίᾳ καὶ τῇ κοινῇ. Μία δὲ ἀμφοτέρων τούτων ἡ ὁδός. Πορεύομαι διὰ τῶν κατὰ φύσιν, μέχρι πεσὼν ἀναπαύσωμαι ἐναποπνεύσας μὲν τούτῳ, ἐξ οὗ καθ' ἡμέραν ἀναπνέω. πεσὼν δὲ ἐπὶ τούτῳ, ἐξ οὗ καὶ τὸ σπερμάτιον ὁ πατήρ μου συνέλεξε, καὶ τὸ αἱμάτιον ἡ μήτηρ, καὶ τὸ γαλάκτιον ἡ τροφός, ἐξ οὗ καθ' ἡμέραν τοσούτοις ἔτεσι βόσκομαι, καὶ ἀρδεύομαι, ὁ φέρει με πατοῦντα, καὶ εἰς τοσαῦτα

ἀποχρώ-

ἀποχρώμενον ἑαυτῷ· Δριμύτητά σου οὐκ ἔχουσι θαυμάσαι; ἔστω· ἀλλὰ ἕτερα πολλά, ἐφ' ὧν οὐκ ἔχεις εἰπεῖν, οὐ γὰρ πέφυκα. ἐκεῖνα οὖν παρέχου, ἅπερ ὅλα ἐστὶ ἐν σοὶ· τὸ ἀκίβδηλον, τὸ σεμνόν, τὸ φερέπονον, τὸ ἀφιλήδονον, τὸ ἀμεμψίμοιρον, τὸ ὀλιγοδεές, τὸ εὐμενές, τὸ ἐλεύθερον, τὸ ἀπερίσσον, τὸ ἀφλύαρον, τὸ μεγαλεῖον, οὐκ αἰσθανῇ, πόσα ἤδη παρέχεσθαι δυνάμενος, ἐφ' ὧν οὐδεμία ἀφυΐας καὶ ἀνεπιτηδειότητος πρόφασις, ὅμως ἔτι κάτω μένεις ἑκών; Ἢ καὶ γογγύζειν, καὶ γλισχρεύεσθαι, καὶ κολακεύειν, καὶ τὸ σωμάτιον καταιτιᾶσθαι, καὶ ἀρέσκεσθαι, καὶ περπερεύεσθαι, καὶ τοσαῦτα ῥιπτάζεσθαι τῇ ψυχῇ, διὰ τὸ ἀφυῶς κατεσκευάσθαι ἀναγκάζῃ; οὐ, μὰ τοὺς θεούς, ἀλλὰ τούτων μὲν πάλαι ἀπηλλάχθαι ἐδύνασο. μόνον δὲ εἰ ἄρα ὡς βραδύτερος, καὶ δυσπαρακολουθητότερος καταγινώσκεσθαι. καὶ τοῦτο δὲ ἀσκητέον μὴ παρενθυμουμένῳ, μηδὲ ἐμφιληδονοῦντι τῇ νωθείᾳ. Ὁ μέν τίς ἐστιν, ὅταν τι δεξιὸν περί τινα πράξῃ, πρόχειρος καὶ λογίσασθαι αὐτῷ τὴν χάριν. ὁ δὲ πρὸς τοῦτο μὲν οὐ πρόχειρος, ἄλλως μέντοι παρ' ἑαυτῷ, ὡς περὶ χρεώστου διανοεῖται, καὶ οἶδεν ὃ πεποίηκεν. ὁ δέ τις τρόπον τινὰ οὐδὲ οἶδεν ὃ πεποίηκεν· ἀλλὰ ὅμοιός ἐστιν ἀμπέλῳ βότρυν ἐνεγκούσῃ, καὶ μηδὲν ἄλλο προσεπιζητούσῃ, μετὰ τὸ ἅπαξ τὸν ἴδιον καρπὸν

ἐνεγκο-

οἰνοχῶναι. ἵππος δραμὼν, κύων ἐχνεύσας, μέλισσα μέλι ποιήσασα. ἄνθρωπος δὲ εὖ ποιήσας οὐκ ἐπιβοᾶται· ἀλλὰ μεταβαίνει ἐφ' ἕτερον ὡς ἄμπελος ἐπὶ τὸ πάλιν ἐν τῇ ὥρᾳ τὸν βότρυν ἐνεγκεῖν. ἐν τούτοις οὖν δεῖ εἶναι, τοῖς τρόπον τινὰ ἀπαρακολουθήτως αὐτὸ ποιοῦσι; ναὶ. ἀλλ' αὐτὸ τοῦτο, δεῖ παρακολουθεῖν. ἴδιον γάρ φησι τοῦ κοινωνικοῦ, τὸ αἰσθάνεσθαι ὅτι κοινωνικῶς ἐνεργεῖ. καὶ νὴ Δία βούλεσθαι καὶ τὸν κοινωνὸν αἰσθέσθαι. ἀληθὲς μὲν ἐστὶν ὃ λέγεις· τὸ δὲ νῦν λεγόμενον παραδέχῃ. διὰ τοῦτο ἔσῃ εἷς ἐκείνων, ὧν πρότερον ἐπεμνήσθην. καὶ γὰρ ἐκεῖνοι λογικῇ τινι πιθανότητι παράγονται. ἐὰν δὲ θελήσῃς συνεῖναι τί ποτέ ἐστι τὸ λεγόμενον, μὴ φοβοῦ, μὴ παρὰ τοῦτο παραλίπῃς τι ἔργον κοινωνικόν.

Εὐχὴ Ἀθηναίων, ὗσον, ὗσον ὦ φίλε Ζεῦ κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων. ἤτοι οὐ δεῖ εὔχεσθαι, ἢ οὕτως ἁπλῶς καὶ ἐλευθέρως.

Ὁποῖόν ἐστι τὸ λεγόμενον, ὅτι συνέταξεν ὁ Ἀσκληπιὸς τούτῳ ἱππασίαν· ἢ ψυχρολουσίαν, ἢ ἀνυποδησίαν· τοιοῦτόν ἐστι καὶ τὸ συνέταξε τούτῳ ἡ τῶν ὅλων φύσις, νόσον, ἢ πήρωσιν, ἢ ἀποβολὴν ἢ ἄλλό τι τῶν τοιούτων. καὶ γὰρ ἐκεῖ τὸ συνέταξε τοιοῦτόν τι σημαίνει. ἔταξε τοῦτο πρὸς τοῦτο, ὡς κατάλληλον εἰς ὑγίειαν. καὶ ἐνταῦθα τὸ συμβαῖνον ἑκάστῳ τέτακταί πως πρὸς

πρὸς αὐτὸ κατάλληλον εἰς τὴν εἱμαρμένην.
οὕτως γὰρ καὶ συμβαίνειν αὐτὰ ἡμῖν λέγομεν,
ὡς καὶ τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχε-
σι, ἢ ταῖς πυραμίσι συμβαίνειν οἱ τεχνῖται λέ-
γουσι, συναρμόζοντας ἀλλήλοις τῇ ποιᾷ συν-
θέσει. Ὅλως γὰρ ἁρμονία ἐστὶ μία. καὶ ὥσπερ
ἐκ πάντων τῶν σωμάτων ὁ κόσμος τοιοῦτος
σῶμα συμπληροῦται, οὕτως ἐκ πάντων τῶν
αἰτιῶν ἡ εἱμαρμένη τοιαύτη αἰτία συμπληροῦ-
ται. Νοοῦσι δὲ ὃ λέγω, καὶ οἱ τέλεον ἰδιῶται.
Φασὶ γὰρ τοῦτο ἔφερεν αὐτῷ. οὐκοῦν τοῦτο τού-
τῳ ἐφέρετο, καὶ τοῦτο τούτῳ συνετάττετο. δε-
χώμεθα οὖν αὐτὰ, ὡς ἐκεῖνα ὁ Ἀσκληπιὸς συν-
τάττει. πολλὰ γοῦν καὶ ἐν ἐκείνοις ἐστὶ τραχέα·
ἀλλὰ ἀσπαζόμεθα τῇ ἐλπίδι τῆς ὑγείας. τοιοῦ-
τόν τι σοι δοκείτω, ἄνυσις καὶ συντέλεια τῶν τῇ
κοινῇ φύσει δοκούντων, οἷον ἡ σὴ ὑγίεια. καὶ οὕ-
τως ἀσπάζου πᾶν τὸ γινόμενον, κἂν ἀπηνέστε-
ρον δοκῇ, διὰ τὸ ἐκεῖ ἄγειν, ἐπὶ τὴν τοῦ κόσμου
ὑγίειαν, καὶ τὴν τοῦ Διὸς εὐοδίαν καὶ εὐπραγίαν.
οὐ γὰρ ἂν τοῦτό τι ἔφερεν, εἰ μὴ τῷ ὅλῳ συνέφε-
ρεν. οὐδὲ γὰρ ἡ τυχοῦσα φύσις φέρει τι, ὃ μὴ τῷ διοι-
κουμένῳ ὑπ' αὐτῆς κατάλληλόν ἐστι. Οὐκοῦν κατὰ
δύο λόγους στέργειν χρὴ τὸ συμβαῖνόν σοι. καθ'
ἕνα μὲν, ὅτι σοι ἐγίνετο, καὶ σοι συνετάττετο,
καὶ πρός σέ πως εἶχεν ἄνωθεν ἐκ τῶν πρεσβυ-

τάτων

τὰ τῶν αἰτίων συγκλωθόμενον. καθ' ἕτερον δέ, ὅτι τῷ τὸ ὅλον διοικοῦντι τῆς εὐοδίας καὶ τῆς συντελείας, καὶ νὴ Δία τῆς συμμονῆς αὐτῆς αἴτιόν ἐστι. πηροῦται γὰρ τὸ ὁλόκληρον, ἐὰν καὶ ὁτιοῦν διακόπτῃς τῆς συναφείας καὶ συνεχείας ὥσπερ τῶν μορίων, οὕτω δὲ καὶ τῶν αἰτίων. διακόπτεις δὲ ὅσον ἐπὶ σοί, ὅταν δυσαρεστῇς, καὶ τρόπον τινὰ ἀναιρῇς. Μὴ σικχαίνειν μηδὲ ἀπαυδᾶν, μηδὲ ἀποδυσπετεῖν, εἰ μὴ κατὰ πυκνοῦταί σοι τὸ ἀπὸ δογμάτων ὀρθῶν ἕκαστα πράσσειν. ἀλλὰ ἐκκρουσθέντα, πάλιν ἐπανιέναι, καὶ ἀσμενίζειν εἰς τὰ πλείω ἀνθρωπικώτερα, καὶ φιλεῖν τοῦτο, ἐφ' ὃ ἐπανέρχῃ. καὶ μὴ ὡς πρὸς παιδαγωγὸν τὴν φιλοσοφίαν ἐπανιέναι. ἀλλ' ὡς οἱ ὀφθαλμιῶντες πρὸς τὸ σπογγάριον καὶ τὸ ᾠόν, ὡς ἄλλος πρὸς κατάπλασμα, ὡς πρὸς καταιόνησιν· οὕτως γὰρ οὐδὲν ἐπιδείξει τὸ πειθαρχεῖν τῷ λόγῳ, ἀλλὰ προσαναπαύσῃ αὐτῷ. Μέμνησο δὲ ὅτι φιλοσοφία μόνα θέλει ἃ ἡ φύσις σου θέλει· σὺ δὲ ἄλλο ἤθελες οὐ κατὰ φύσιν. τί γὰρ τούτων προσηνέστερον; ἡ δ' ἡδονὴ οὐχὶ διὰ τοῦτο σφάλλει; ἀλλὰ θέασαι εἰ προσηνέστερον μεγαλοψυχία, ἐλευθερία, ἁπλότης, εὐγνωμοσύνη, ὁσιότης. αὐτῆς γὰρ φρονήσεως τί προσηνέστερον; ὅταν τὸ ἄπταιστον καὶ εὔρουν ἐν πᾶσι τῆς παρακολουθητικῆς καὶ ἐπιστημονικῆς δυνάμεως ἐνθυμηθῇς. Τὰ μὲν πράγματα

ἐν τοιαύ-

ἐν τοιαύτῃ τρόπον τινὰ ἐγκαλύψει ἐστὶν, ὥστε
φιλοσόφοις οὐκ ὀλίγοις οὐδὲ τοῖς τυχοῦσιν ἔδοξεν
παντάπασιν ἀκατάληπτα εἶναι, πλὴν αὐτοῖς
γε τοῖς Στωϊκοῖς δυσκατάληπτα δοκεῖ. καὶ πᾶσα
ἡ ἡμετέρα συγκατάθεσις, μεταπτωτή, ποῦ γὰρ ὁ
ἀμετάπτωτος; μέτιθι τοίνυν ἐπ' αὐτὰ τὰ ὑπο-
κείμενα, ὡς ὀλιγοχρόνια, καὶ εὐτελῆ, καὶ δυνάμενα
ἐν κτήσει κιναίδου, ἢ πόρνης, ἢ λῃστοῦ εἶναι. μετὰ
τοῦτο ἔπιθι ἐπὶ τὰ τῶν συμβιούντων ἤθη, ὧν μόλις
ἐστὶ καὶ τοῦ χαριεστάτου ἀνασχέσθαι, ἵνα μὴ λέγω
ὅτι καὶ ἑαυτόν τις μόγις ὑπομένει. Ἐν τοιούτῳ
οὖν ζόφῳ, καὶ ῥύπῳ καὶ τοσαύτῃ ῥύσει τῆς τε οὐσίας,
καὶ τοῦ χρόνου, καὶ τῆς κινήσεως, καὶ τῶν κινουμένων, τί
ποτ' ἐστὶ τὸ ἐκτιμηθῆναι ἢ τὸ ὅλως σπουδασθῆ-
ναι δυνάμενον, οὐδ' ἐπινοῶ. τοὐναντίον γὰρ δεῖ πα-
ραμυθούμενον ἑαυτὸν περιμένειν τὴν φυσικὴν λύ-
σιν, καὶ μὴ ἀσχάλλειν τῇ διατριβῇ, ἀλλὰ τούτοις μό-
νοις προσαναπαύεσθαι. ἑνὶ μὲν τῷ ὅτι οὐδὲν συμ-
βήσεταί μοι, ὃ οὐχὶ κατὰ τὴν τῶν ὅλων φύσιν ἐστίν.
ἑτέρῳ δὲ, ὅτι ἔξεστί μοι μηδὲν πράσσειν παρὰ τὸν ἐ-
μὸν θεὸν καὶ δαίμονα. οὐδεὶς γὰρ ὁ ἀναγκάσων τοῦ-
τον παραβῆναι. Πρὸς τί ποτε ἄρα νῦν χρῶμαι τῇ
ἐμαυτοῦ ψυχῇ; παρ' ἕκαστον τοῦτο ἐπανερωτᾶν ἑαυ-
τὸν, καὶ ἐξετάζειν, τί μοι ἔστι νῦν ἐν τούτῳ τῷ
μορίῳ, ὃ δὴ ἡγεμονικὸν καλοῦσι; καὶ τίνος ἄρα
νῦν ἔχω ψυχήν, μήτι παιδίου; μήτι μειρακίου,
μήτε

μήτι γυναικείου, μήτι τυράννου; μήτι κτή-
νους, μήτι θηρίου; ὁποῖά τινα ἐστὶ τὰ τοῖς πολ-
λοῖς δοκοῦντα ἀγαθὰ, καὶ αὐτόθεν λάβοις.
εἰ γάρ τις ἐπινοήσειεν ὑπάρχοντά τινα ὡς ἀλη-
θῶς ἀγαθὰ, οἷον φρόνησιν, σωφροσύνην,
δικαιοσύνην, ἀνδρείαν, οὐκ ἂν ταῦτα προε-
πινοήσας, ἔτι ἀκοῦσαι δυνηθείη τι. ὑπὸ τοῦ
ἀγαθῶ γὰρ ἐφαρμόσει. τὰ δέ γε τοῖς πολλοῖς
φαινόμενα ἀγαθὰ προεπινοήσας τις ἐξακού-
σεται, καὶ ῥαδίως δέξεται, ὡς οἰκείως ἐπιλε-
γόμενον τὸ ὑπὸ τοῦ κωμικοῦ εἰρημένον. οὕτως
καὶ οἱ πολλοὶ φαντάζονται τὴν διαφοράν. οὐ
γὰρ ἂν τοῦτο μὲν οὐ προσέκοπτεν καὶ ἀπηξιοῦτο·
τὸ δὲ ἐπὶ τοῦ πλούτου καὶ τῆς πρὸς τρυφὴν ἢ
δόξαν εὐκληρημάτων παρεδεχόμεθα, ὡς ἱκανου-
μένως καὶ ἀστείως εἰρημένον. πρόϊθι οὖν καὶ ἐ-
ρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ ὑποληπτέον τὰ
τοιαῦτα, ὧν προεπινοηθέντων οἰκείως ἂν ἐπιφέ-
ροιτο, τὸ τὸν κεκτημένον αὐτὰ ὑπὸ τῆς εὐπορίας,
οὐκ ἔχειν ὅποι χέσῃ.

Ἐξ αἰτιώδους καὶ ὑλικοῦ συνέστηκα· οὐδέ-
τερον δὲ τούτων εἰς τὸ μὴ ὂν φθαρήσεται· ὥσπερ
οὐδὲ ἐκ τοῦ μὴ ὄντος ὑπέστη, οὐκοῦν καταταχθή-
σεται πᾶν μέρος ἐμὸν κατὰ μεταβολὴν εἰς
μέρος τι τοῦ κόσμου, καὶ πάλιν ἐκεῖνο εἰς ἕτε-
ρον μέρος τοῦ κόσμου μεταβαλεῖ· καὶ ἤδη εἰς
ἄπειρον.

ἄπειρον. καὶ κατὰ τοιαύτην δὲ μεταβολὴν κἀγὼ ὑπέστην, καὶ οἱ ἐμὲ γεννήσαντες, καὶ ἐπανιόντι εἰς ἄλλο ἄπειρον. οὐδὲν γὰρ κωλύει οὕτως φάναι, κἂν κατὰ περιόδους πεπερασμένας ὁ κόσμος διοικῆται.

Ὁ λόγος καὶ ἡ λογικὴ τέχνη δυνάμεις εἰσὶν ἑαυταῖς ἀρκούμεναι, καὶ τοῖς καθ' ἑαυτὰς ἔργοις. ὁρμῶνται μὲν οὖν ἀπὸ τῆς οἰκείας ἀρχῆς. ὁδεύουσι δὲ εἰς τὸ προκείμενον τέλος. καθὸ κατορθώσεις. αἱ τοιαῦται πράξεις ὀνομάζονται, τὴν ὀρθότητα τῆς ὁδοῦ σημαίνουσαι. Οὐδὲν τούτων ῥητέον ἀνθρώπου, ἃ ἀνθρώπῳ καθ' ἄνθρωπός ἐστι, οὐκ ἐπιβάλλει. οὐκ ἔστιν ἀπαιτήματα ἀνθρώπου, οὐδὲ ἐπαγγέλλεται αὐτὰ ἡ τοῦ ἀνθρώπου φύσις. οὐδὲ τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως. οὔ τοίνυν οὐδὲ τὸ τέλος ἐν αὐτοῖς ἐστι τῷ ἀνθρώπῳ κείμενον. οὐδὲ τὸ συμπληρωτικὸν τοῦ τέλους τὸ ἀγαθόν. ἔτι εἴ τι τούτων ἦν ἐπιβάλλον τῷ ἀνθρώπῳ, οὐκ ἂν τὸ ὑπερφρονεῖν αὐτῶν, καὶ κατεξανίστασθαι, ἐπιβάλλον ἦν. οὐδὲ ἐπαινετὸς ἦν ὁ ἀπροσδεῆ τούτων ἑαυτὸν παρεχόμενος. οὐδ' ἂν ὁ ἐλαττωτικὸς ἑαυτοῦ ἔν τινι τούτων ἀγαθὸς ἦν, εἴπερ ταῦτα ἀγαθὰ ἦν. Νῦν δ' ὅσῳπερ πλείω τις ἀφαιρῶν ἑαυτοῦ τούτων, ἢ τοιούτων ἑτέρων, ἢ καὶ ἀφαιρούμενά τι τούτων ἀνέχηται, τοσῷδε μᾶλλον ἀγαθός ἐστι. Οἷα ἂν πολ-

λάκις φαντασθῇς, τοιαύτη σοι ἔσται ἡ διάνοια. βάπτεται γὰρ ὑπὸ τῶν φαντασιῶν ἡ ψυχή. βάπτε οὖν αὐτὴν, τῇ συνεχείᾳ τῶν τοιούτων φαντασιῶν. οἷον, ὅτι ὅπου ζῆν ἔστιν, ἐκεῖ καὶ εὖ ζῆν. ἐν αὐλῇ δὲ ζῆν ἔστιν, ἔστιν ἄρα καὶ εὖ ζῆν ἐν αὐλῇ. Καὶ πάλιν, ὅτι οὗπερ ἕνεκεν ἕκαστον κατεσκεύασται. πρὸς ὃ δὲ κατεσκεύασται, πρὸς τοῦτο φέρεται. πρὸς ὃ φέρεται δὲ, ἐν τούτῳ τὸ τέλος αὐτοῦ. ὅπου δὲ τὸ τέλος, ἐκεῖ καὶ τὸ συμφέρον, καὶ τἀγαθὸν ἑκάστου. τὸ ἄρα ἀγαθὸν τοῦ λογικοῦ ζώου, κοινωνία. ὅτι γὰρ πρὸς κοινωνίαν γεγόναμεν, πάλαι δέδεικται. Ἢ οὐκ ἦν ἐναργὲς, ὅτι τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ κρείττω ἀλλήλων; κρείττω δὲ τῶν μὲν ἀψύχων, τὰ ἔμψυχα· τῶν δὲ ἐμψύχων, τὰ λογικά. Τὸ τὰ ἀδύνατα διώκειν, μανικόν. ἀδύνατον δὲ τὸ τοὺς φαύλους μὴ τοιαῦτά τινα ποιεῖν. Οὐδὲν οὐδενὶ συμβαίνει, ὃ οὐχὶ ἐκεῖνο πέφυκεν φέρειν αὐτῷ. ἄλλῳ τὰ αὐτὰ συμβαίνει. καὶ ἤτοι ἀγνοῶν ὅτι συμβέβηκεν, ἢ ἐπιδεικνύμενος μεγαλοφροσύνην εὐσταθεῖ, καὶ ἀκάκωτος μένει. δεινὸν οὖν ἄγνοιαν καὶ ἀρέσκειαν ἰσχυροτέρας εἶναι φρονήσεως. Τὰ πράγματα αὐτὰ οὐδ' ὁπωσοῦν ψυχῆς ἅπτεται· οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχήν· οὐδὲ τρέψαι, οὐδὲ κινῆσαι ψυχὴν δύναται. τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη. καὶ οἵων ἂν κριμά-

τῶν

τὴν καταξιώσῃ ἑαυτήν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προσυφεστῶτα. Καθ᾽ ἕτερον μὲν λόγον ἡμῖν ἐστιν οἰκειότατον ἄνθρωπος, καθ᾽ ὅσον εὖ ποιητέον αὐτοὺς καὶ ἀνεκτέον. καθ᾽ ὅσον δὲ ἐνίστανταί τινες εἰς τὰ οἰκεῖα ἔργα, ἕν τι τῶν ἀδιαφόρων μοι γίνεται ὁ ἄνθρωπος, οὐχ ἧσσον ἢ ἥλιος, ἢ ἄνεμος, ἢ θηρίον. ὑπὸ τούτων δὲ ἐνέργεια μέν τις ἐμποδισθείη ἄν. ὁρμῆς δὲ καὶ διαθέσεως, οὐ γίνεται ἐμπόδια διὰ τὴν ὑπεξαίρεσιν, καὶ τὴν περιτροπήν. περιτρέπει γὰρ καὶ μεθίστησι πᾶν τὸ τῆς ἐνεργείας κώλυμα ἡ διάνοια εἰς τὸ προηγούμενον. καὶ πρὸ ἔργου γίνεται τὸ τοῦ ἔργου τούτου ἐφεκτικόν· καὶ πρὸ ὁδοῦ, τὸ τῆς ὁδοῦ ταύτης ἐνστατικόν. Τῶν ἐν τῷ κόσμῳ τὸ κράτιστον τίμα. ἔστι δὲ τοῦτο, τὸ πᾶσι χρώμενον, καὶ πάντα διέπον. ὁμοίως δὲ καὶ τῶν ἐν σοὶ τὸ κράτιστον τίμα. ἔστι δὲ τοῦτο, τὸ ἐκείνῳ ὁμογενές. καὶ γὰρ ἐπὶ σοῦ τὸ τοῖς ἄλλοις χρώμενον, τοῦτό ἐστι, καὶ ὁ σὸς βίος, ὑπὸ τούτου διοικεῖται.

Ὃ τῇ πόλει οὐκ ἔστι βλαβερόν, οὐδὲ τὸν πολίτην βλάπτει. ἐπὶ πάσης τῆς τοῦ βεβλάφθαι φαντασίας, τοῦτον ἔπαγε τὸν κανόνα. εἰ ἡ πόλις ὑπὸ τούτου μὴ βλάπτεται, οὐδὲ ἐγὼ βέβλαμμαι. εἰ δὲ ἡ πόλις βλάπτεται, οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν. τί τὸ παρορώμενον. Πολλάκις ἐνθυμοῦ, τὸ τάχος τῆς παραφορᾶς καὶ ὑπεξαγωγῆς τῶν

ὄντων τε καὶ γινομένων. ἥ τε γὰρ οὐσία οἷον ποταμὸς ἐν διηνεκεῖ ῥύσει, καὶ αἱ ἐνέργειαι ἐν συνεχέσι μεταβολαῖς, καὶ τὰ αἴτια ἐν μυρίαις τροπαῖς, καὶ σχεδὸν οὐδὲν ἑστώς, ὃ τὸ πάρεγγυς. τὸ δὲ ἄπειρον τοῦ τε παρῳχηκότος καὶ μέλλοντος ἀχανές, ᾧ πάντα ἐναφανίζεται. πῶς οὖν οὐ μωρός, ὁ ἐν τούτοις φυσώμενος, ἢ σπώμενος, ἢ σχετλιάζων, ὡς ἐν τινι χρόνῳ καὶ ἐπὶ μακρὸν ἐνοχλήσαντι; μέμνησο τῆς συμπάσης οὐσίας, ἧς ὀλίγιστον μετέχεις, καὶ τοῦ σύμπαντος αἰῶνος, οὗ βραχὺ καὶ ἀκαριαῖον σοι διάστημα ἀφώρισται, καὶ τῆς εἱμαρμένης, ἧς πόσον εἶ μέρος. Ἄλλος ἁμαρτάνει τι εἰς ἐμέ, ὄψεται. ἰδίαν ἔχει διάθεσιν, ἰδίαν ἐνέργειαν. ἐγὼ νῦν ἔχω ὅ με θέλει νῦν ἔχειν ἡ κοινὴ φύσις, καὶ πράσσω ὅ με νῦν πράσσειν θέλει ἡ ἐμὴ φύσις. Τὸ ἡγεμονικὸν καὶ κυριεῦον τῆς ψυχῆς σου μέρος, ἄτρεπτον ἔστω, ὑπὸ τῆς ἐν τῇ σαρκὶ λείας ἢ τραχείας κινήσεως. καὶ μὴ συγκιρνάσθω, ἀλλὰ περιγραφέτω αὐτὸ, καὶ περιοριζέτω τὰς πείσεις ἐκείνας ἐν τοῖς μορίοις. ὅταν δὲ ἀναδιδῶνται κατὰ τὴν ἑτέραν συμπάθειαν εἰς τὴν διάνοιαν, ὡς ἐν σώματι ἡνωμένῳ, τότε πρὸς μὲν τὴν αἴσθησιν, φυσικὴν οὖσαν, οὐ πειρατέον ἀντιβαίνειν. τὴν δὲ ὑπόληψιν, τὴν ὡς περὶ ἀγαθοῦ ἢ κακοῦ, μὴ προστιθέτω τὸ ἡγεμονικὸν ἐξ αὐτοῦ. Συζῆν θεοῖς. Συζῇ

δὲ θεοῖς

δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις. ποιοῦσαν δὲ ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. οὗτος δέ ἐστιν, ὁ ἑκάστου νοῦς καὶ λόγος.

Τῷ γραίσωνι μήτι ὀργίζῃ; μήτι τῷ ὀζοστόμῳ ὀργίζῃ; τί σοι ποιήσει; τοιοῦτον στόμα ἔχει, τοιαύτας μάλας ἔχει, ἀνάγκη τοιαύτην ἀποφορὰν ἀπὸ τοιούτων γίνεσθαι. Ἀλλ' ὁ ἄνθρωπος λόγον ἔχει φησί, καὶ δύναται συννοεῖν ἐφιστάνως τί πλημμελεῖ. εὖ σοι γένοιτο. τοιγαροῦν καὶ σὺ λόγον ἔχεις, κίνησον λογικῇ διαθέσει, λογικὴν διάθεσιν· δεῖξον, ὑπόμνησον. εἰ γὰρ ἐπαΐει, θεραπεύσεις, καὶ οὐ χρεία ὀργῆς. οὔτε τραγῳδός, οὔτε πόρνη. ὡς ἐξελθὼν ζῆν διανοῇ, οὕτως ἐνταῦθα ζῆν ἔξεστιν. Ἐὰν δὲ μὴ ἐπιτρέπωσι, τότε καὶ τοῦ ζῆν ἔξιθι, οὕτως μέντοι, ὡς μηδὲν κακὸν πάσχων. καὶ καπνός ἐστι, ἀπέρχομαι, τί αὐτὸ πρᾶγμα δοκεῖς. μέχρι δέ με τοιοῦτον οὐδὲν ἐξάγει, μένω ἐλεύθερος. καὶ οὐδείς με κωλύσει ποιεῖν ἃ θέλω. θέλω δὲ κατὰ φύσιν τοῦ λογικοῦ καὶ κοινωνικοῦ ζῴου.

Ὁ τοῦ ὅλου νοῦς, κοινωνικός. πεποίηκε γοῦν τὰ χείρω τῶν κρειττόνων ἕνεκεν· καὶ τὰ κρείττω ἀλλήλοις συνήρμοσεν. ὁρᾷς πῶς ὑπέταξε, συνέταξε, καὶ τὸ κατ' ἀξίαν ἀπένειμεν ἑκάστοις, καὶ τὰ

ξ 5 κρα-

κρατιστεύοντα εἰς ὁμόνοιαν ἀλλήλοις συνήγαγε. πῶς προσενήνεξαι μέχρι νῦν θεοῖς, γονεῦσιν, ἀδελφοῖς, γυναικὶ, τέκνοις, διδασκάλοις, τροφεῦσι, φίλοις, οἰκείοις, οἰκέταις; εἰ πρὸς πάντας σοι μέχρι νῦν ἐστὶ τὸ μήτε τινὰ ῥέξαι ἐξαίσιον, μήτε εἰπεῖν; Ἀναμιμνήσκου δὲ, καὶ δι' οἵων διελήλυθας, καὶ οἷα ἤρκεσας ὑπομεῖναι. καὶ ὅτι πλήρης ἤδη σοι ἱστορία τοῦ βίου, καὶ τελεία ἡ λειτουργία· καὶ πόσα ὦπται καλὰ, καὶ πόσων μὲν ἡδονῶν καὶ πόνων ὑπερεῖδες; πόσα δὲ ἔνδοξα παρεῖδες; εἰς ὅσους δὲ ἀγνώμονας εὐγνώμων ἐγένου; Διὰ τί συγχέουσιν ἄτεχνοι καὶ ἀμαθεῖς ψυχαὶ ἔντεχνον καὶ ἐπιστήμονα; τίς οὖν ψυχὴ ἔντεχνος καὶ ἐπιστήμων; ἡ εἰδυῖα ἀρχὴν καὶ τέλος. καὶ τὸν δι' τῆς οὐσίας διήκοντα λόγον, καὶ διὰ παντὸς τοῦ αἰῶνος κατὰ περιόδους τεταγμένας οἰκονομοῦντα τὸ πᾶν. Ὅσον οὐδέπω σποδὸς, ἢ σκελετὸς, καὶ ἤτοι ὄνομα, ἢ οὐδὲ ὄνομα. τὸ δὲ ὄνομα, ψόφος καὶ ἀπήχημα. τὰ δὲ ἐν τῷ βίῳ πολυτίμητα, κενὰ, καὶ σαπρὰ, καὶ μικρὰ, καὶ κυνίδια διαδακνόμενα, καὶ παιδία φιλόνεικα, γελῶντα, εἶτα εὐθὺς κλαίοντα. πίστις δὲ καὶ αἰδὼς, καὶ δίκη, καὶ ἀλήθεια, πρὸς Ὄλυμπον, ἀπὸ χθονὸς εὐρυοδείης. Τί οὖν ἔτι τὸ ἐνταῦθα κατέχον; εἴγε τὰ μὲν αἰσθητὰ, εὐμετά-

βλητα,

βληται, καὶ οὐχ ἑστῶτα· τὰ δὲ αἰσθητήρια, ἀμυδρὰ καὶ εὐπαρατύπωτα. αὐτὸ δὲ τὸ ψυχάριον, ἀναθυμίασις ἀφ' αἵματος. τὸ δὲ εὐδοκιμεῖν παρὰ τοιούτοις, κενόν. τί οὖν περιμένεις; ἵλεως τὴν εἴτε σβέσιν, εἴτε μετάστασιν. ἕως δὲ ἐκείνης ὁ καιρὸς ἐφίσταται, τί ἀρκεῖ; τί δ' ἄλλο ἢ θεοὺς μὲν σέβειν καὶ εὐφημεῖν· ἀνθρώπους δὲ εὖ ποιεῖν, καὶ ἀνέχεσθαι αὐτῶν καὶ ἀπέχεσθαι. ὅσα δὲ ἐκτὸς ὅρων τοῦ κρεαδίου, καὶ τοῦ πνευματίου, ταῦτα μεμνῆσθαι μήτε σὰ ὄντα, μήτε ἐπὶ σοί. δύνασαι ἀεὶ εὐροεῖν, εἴγε καὶ ὁδεύειν, εἴγε καὶ ὁδῷ ὑπολαμβάνειν, καὶ πράσσειν. δύο ταῦτα κοινά, τῇ τε τοῦ θεοῦ, καὶ τῇ τοῦ ἀνθρώπου, καὶ παντὸς λογικοῦ ζώου ψυχῇ, τὸ μὴ ἐμποδίζεσθαι ὑπ' ἄλλου. καὶ τὸ ἐν τῇ δικαϊκῇ διαθέσει καὶ πράξει ἔχειν τὸ ἀγαθόν. καὶ ἐνταῦθα τὴν ὄρεξιν ἀπολήγειν. Εἰ μήτε κακία ἐστὶ τοῦτο ἐμή, μήτε ἐνέργεια κατὰ κακίαν ἐμήν· μήτε τὸ κοινὸν βλάπτεται, τί ὑπὲρ αὐτοῦ διαφέρομαι; τίς δὲ βλάβη τοῦ κοινοῦ; μὴ ὁλοσχερῶς τῇ φαντασίᾳ συναρπάζεσθαι· ἀλλὰ βοηθεῖν μὲν κατὰ δύναμιν καὶ κατ' ἀξίαν, κἂν εἰς τὰ μέσα ἐλαττῶνται. μὴ μέντοι βλάβην αὐτὸ φαντάζεσθαι, κακὸν γὰρ ἔθος. ἀλλ' ὡς ὁ γέρων ἀπελθὼν τὸν τοῦ θρεπτοῦ ῥόμβον ἀπῄτει μεμνημένος ὅτι ῥόμβος· οὕτως οὖν καὶ

ὧδε· ἐπεί τοι γίνῃ καλχρὸν ἐπὶ τὴν ἐμβόλχρον. ἄνθρωπε ἐπελάθου τί ταῦτα ἦν; καὶ ἀλλὰ τούτοις περιεσπούδασαι. διὰ τοῦτ' οὖν καὶ σὺ μωρὸς γένῃ; ἐγενόμην ποτὲ ὁπουδήποτε καταλειφθεὶς εὔμοιρος ἄνθρωπος, τὸ δὲ εὔμοιρος ἀγαθὴν μοῖραν σεαυτῷ ἀπονείμας. ἀγαθαὶ δὲ μοῖραι, ἀγαθαὶ τροπαὶ ψυχῆς, ἀγαθαὶ ὁρμαί, ἀγαθαὶ πράξεις.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ϛ.

ΗΤΩΝ ὅλων οὐσία, εὐπειθὴς, καὶ εὐτρεπής· ὁ δὲ ταύτην διοικῶν λόγος οὐδεμίαν ἐν ἑαυτῷ αἰτίαν ἔχει τοῦ κακοποιεῖν. κακίαν γὰρ οὐκ ἔχει, οὐδέ τι κακῶς ποιεῖ· οὐδὲ βλάπτεταί τι ὑπ' ἐκείνου. πάντα δὲ κατ' ἐκεῖνον γίνεται, καὶ περαίνεται. Μὴ διαφέρου πότερον ῥιγῶν, ἢ θαλπόμενος τὸ πρέπον ποιεῖς· καὶ πότερον νυστάζων, ἢ ἱκανῶς ὕπνου ἔχων, καὶ πότερον κακῶς ἀκούων, ἢ εὐφημούμενος, καὶ πότερον ἀποθνήσκων, ἢ πράττων τι ἀλλοῖον. μία γὰρ τῶν βιωτικῶν πράξεων

καὶ

καὶ αὕτη ἐστὶ, καθ' ἣν ἀποθνήσκομεν. ἀρκεῖ οὖν καὶ ἐπὶ ταύτης τὸ παρὸν εὖ θέσθαι. Ἔσω βλέπε. μηδενὸς πράγματος μήτε ἡ ἰδία ποιότης, μήτε ἡ ἀξία παρατρεχέτω σε. πάντα τὰ ὑποκείμενα τάχιστα μεταβαλλει, καὶ ἤτοι ἐκθυμιαθήσεται, εἴπερ ἥνωται ἡ οὐσία, ἢ σκεδασθήσεται. ὁ διοικῶν λόγος οἶδε πῶς διακείμενος, καὶ τί ποιεῖ, καὶ ἐπὶ τίνος ὕλης. Ἄριστος τρόπος τοῦ ἀμύνεσθαι, τὸ μὴ ἐξομοιοῦσθαι. Ἑνὶ τέρπου, καὶ προσαναπαύου, τῷ ἀπὸ πράξεως κοινωνικῆς μεταβαίνειν ἐπὶ πρᾶξιν κοινωνικὴν σὺν μνήμῃ θεοῦ. Τὸ ἡγεμονικόν ἐστι, τὸ ἑαυτὸ ἐγεῖρον καὶ τρέπον, καὶ ποιοῦν μὲν ἑαυτὸ οἷον ἂν καὶ θέλῃ· ποιοῦν δὲ ἑαυτῷ φαίνεσθαι πᾶν τὸ συμβαῖνον, οἷον αὐτὸ θέλει κατὰ τὴν τῶν ὅλων φύσιν ἕκαστα περαίνεται. οὐ γὰρ κατ' ἄλλην γέ τινα φύσιν, ἤτοι ἔξωθεν περιέχουσαν, ἢ ἐμπεριεχομένην ἔνδον, ἢ ἔξω ἀπηρτημένην, ἤτοι κυκεὼν, καὶ ἀντεμπλοκὴ, καὶ σκεδασμὸς· ἢ ἕνωσις καὶ τάξις, πρόνοια. εἰ μὲν οὖν τὰ πρότερα, τί καὶ ἐπιθυμῶ εἰκαίῳ συγκρίματι, καὶ φυρμῷ τοιούτῳ ἐνδιατρίβειν; τί δέ μοι καὶ μέλει ἄλλου τινὸς, ἢ τοῦ ὁπώσποτε αἶα γίνεσθαι; τί δὲ καὶ ταράσσομαι; ἥξει γὰρ ἐπ' ἐμὲ ὁ σκεδασμὸς ὅ, τι ἂν ποιῶ. εἰ δὲ θάτερά ἐστι, σέβω καὶ εὐσταθῶ, καὶ θαρ-

ρῶ τῷ διοικοῦντι. Ὅταν ἀναγκασθῇς ὑπὸ τῶν περιεστηκότων οἱονεὶ διαταραχθῆναι, ταχέως ἐπάνιθι εἰς ἑαυτὸν, καὶ μὴ ὑπὲρ τὰ ἀναγκαῖα ἐξίστασο τοῦ ῥυθμοῦ. ἔσῃ γὰρ ἐγκρατέστερος τῆς ἁρμονίας τῷ συνεχῶς εἰς αὐτὴν ἐπανέρχεσθαι. Εἰ μητρυιάν τε ἅμα εἶχες καὶ μητέρα, ἐκείνην τ' ἂν ἐθεράπευες, καὶ ὅμως ἡ ἐπάνοδός σοι πρὸς τὴν μητέρα συνεχὴς ἐγίνετο. τοῦτό σοι νῦν ἐστιν ἡ αὐλὴ, καὶ φιλοσοφία· ὧδε πολλάκις ἐπάνιθι, καὶ προσαναπαύου ταύτῃ, δι' ἣν καὶ τὰ ἐκεῖ σοι ἀνεκτὰ φαίνεται, καὶ σὺ ἐν αὐτοῖς ἀνεκτός. Οἷον δὴ τὸ φαντασίαν λαμβάνειν ἐπὶ τῶν ὄψων, καὶ τῶν τοιούτων ἐδωδίμων· ὅτι νεκρὸς οὗτος ἰχθύος, οὗτος δὲ νεκρὸς ὄρνιθος, ἢ χοίρου. καὶ πάλιν ὅτι ὁ Φαλέρνος, χυλάριόν ἐστι σταφυλίου· καὶ ἡ περιπόρφυρος, τρίχια προβατίου αἱματίῳ κόγχης δεδευμένα, καὶ ἐπὶ τῶν κατὰ τὴν συνουσίαν, ἐντερίου παράτριψις, καὶ μετά τινος σπασμοῦ μυξαρίου ἔκκρισις, οἷαι δὴ αὗταί εἰσιν αἱ φαντασίαι καθικνούμεναι αὐτῶν τῶν πραγμάτων καὶ διεξιοῦσαι δι' αὐτῶν, ὥστε ὁρᾶν οἷά τινά ποτ' ἐστίν. οὕτως δεῖ παρ' ὅλον τὸν βίον ποιεῖν, καὶ ὅπου λίαν ἀξιοπιστότατα πράγματα φαντάζεται, ἀπογυμνοῦν αὐτὰ, καὶ τὴν εὐτέλειαν αὐτῶν καθορᾶν, καὶ τὴν ἱστορίαν ἐφ' ᾗ σεμνύνεται περιαιρεῖν. δεινὸς γὰρ

ὁ τῦφος

ὁ τῦφος παραλογιστής, καὶ ὅτε δοκεῖς μάλιστα περὶ τὰ σπουδαῖα καταγίνεσθαι, τότε μάλιστα καταγοητεύει. Ὅρα γοῦν ὁ Κράτης, τί περὶ αὐτοῦ τοῦ Ξενοκράτους λέγει. Τὰ πλεῖστα ὧν ἡ πληθὺς θαυμάζει, εἰς γενικώτατα ἀνάγεται, τὰ ὑπὸ ἕξεως ἢ φύσεως συνεχόμενα· λίθους, ξύλα, συκᾶς, ἀμπέλους, ἐλαίας· τὰ δὲ ὑπὸ τῶν ὀλίγω μετριοτέρων, εἰς τὰ ὑπὸ ψυχῆς. οἷον, ποίμνας, ἀγέλας· τὰ δὲ ὑπὸ τῶν ἔτι χαριεστέρων, εἰς τὰ ὑπὸ λογικῆς ψυχῆς, οὐ μέντοι καθολικῆς, ἀλλὰ καθὸ τεχνικὴ, ἢ ἄλλως πῶς ἐντρεχὴς, ἢ κατὰ ψιλὸν, τὸ πλῆθος ἀνδραπόδων κεκτῆσθαι. ὁ δὲ ψυχὴν λογικὴν καθολικὴν καὶ πολιτικὴν τιμῶν, οὐδὲν ἔτι τῶν ἄλλων ἐπιστρέφεται, πρὸ ἁπάντων δὲ τὴν ἑαυτοῦ ψυχὴν λογικῶς καὶ κοινωνικῶς ἔχουσαν, καὶ κινουμένην διασώζει, καὶ τῷ ὁμογενεῖ εἰς τοῦτο συνεργεῖ. Τὰ μὲν σπεύδει γίνεσθαι, τὰ δὲ σπεύδει γεγονέναι, καὶ τοῦ γινομένου δὲ ἤδη τι ἀπέσβη. ῥύσεις καὶ ἀλλοιώσεις, ἀνανεοῦσι τὸν ἄπειρον αἰῶνα τὸν κόσμον διηνεκῶς, ὥσπερ ἡ τοῦ χρόνου ἀδιάλειπτος φορὰ νέον ἀεὶ παρέχεται. Ἐν δὴ τούτῳ τῷ ποταμῷ, τί ἄν τις τούτων τῶν παραθεόντων ἐκτιμήσειεν, ἐφ᾽ οὗ στῆναι οὐκ ἔξεστιν; ὥσπερ εἴ τις τι τῶν παραπετομένων στρουθίων φιλεῖν ἄρχοιτο, τὸ δ᾽ ἤδη ἐξ ὀφθαλμῶν ἀπελή-

ἀπελήλυθεν. τοιοῦτον δή τι καὶ αὐτὴ ἡ ζωὴ ἑκάστου, οἷον ἡ ἀφ' αἵματος ἀναθυμίασις, καὶ ἡ ἐκ τοῦ ἀέρος ἀνάπνευσις. ὁποῖον γάρ ἐστι τὸ ἅπαξ ἑλκύσαι τὸν ἀέρα καὶ ἀποδοῦναι, ὅπερ παρ' ἕκαστον ποιοῦμεν, τοιοῦτόν ἐστι καὶ τὸ τὴν πᾶσαν ἀναπνευστικὴν δύναμιν, ἣν χθὲς καὶ πρώην ἀποτεχθεὶς ἐκτήσω, ἀποδοῦναι ἐκεῖ, ὅθεν τὸ πρῶτον ἔσπασας. ὡς τὰ φυτὰ τίμιον οὔτε τὸ διαπνεῖσθαι, οὔτε τὸ ἀναπνεῖν ὡς τὰ βοσκήματα καὶ τὰ θηρία· οὔτε τὸ τυποῦσθαι κατὰ φαντασίαν. οὔτε τὸ νευροσπαστεῖσθαι καθ' ὁρμήν, οὔτε τὸ συναγελάζεσθαι, οὔτε τὸ τρέφεσθαι· τοῦτο γὰρ ὅμοιον τῷ ἀποκρίνειν τὰ περιττώματα τῆς τροφῆς. τί οὖν τίμιον; τὸ κροτεῖσθαι; οὐχί· οὐκοῦν οὐδὲ τὸ ὑπὸ γλωσσῶν κροτεῖσθαι· αἱ γὰρ παρὰ τῶν πολλῶν εὐφημίαι, κρότος γλωσσῶν. ἀφῆκας οὖν καὶ τὸ δοξάριον, τί καταλείπεται τίμιον; δοκῶ μὲν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν κινεῖσθαι, καὶ ἴσχεσθαι. ἐφ' ὃ καὶ αἱ ἐπιμέλειαι ἄγουσι, καὶ αἱ τέχναι. ἥ τε γὰρ τέχνη πᾶσα τούτου στοχάζεται. ἵνα τὸ κατασκευασθὲν ἐπιτηδείως ἔχῃ πρὸς τὸ ἔργον πρὸς ὃ κατεσκεύασται. ὅ τε φυτουργὸς ὁ ἐπιμελούμενος τῆς ἀμπέλου, καὶ ὁ πωλοδάμνης, καὶ ὁ τοῦ κυνὸς ἐπιμελούμενος τοῦτο ζητεῖ. αἱ δὲ παιδαγωγίαι, αἱ διδασκαλίαι ἐπί τι σπεύδουσιν. ὧδε οὖν τὸ τίμιον. καὶ

τοῦτο

τούτου μὲν ἂν οὐκ ἔχῃ, οὐδὲν τῶν ἄλλων περὶ ποιήσῃ σεαυτῷ· οὕτω παύσῃ καὶ ἄλλα πολλὰ τιμῶν· οὔτ' οὖν ἐλεύθερος ἔσῃ, οὔτε αὐτάρκης οὔτε ἀπαθής. ἀνάγκη γὰρ φθονεῖν, ζηλοτυπεῖν, ὑφορᾶσθαι τοὺς ἀφελέσθαι ἐκεῖνα δυναμένους· ἐπιβουλεύειν τοῖς ἔχουσι τὸ τιμώμενον ὑπὸ σοῦ· ὅλως πεφύρθαι ἀνάγκη τὸν ἐκείνων τινὸς ἐνδεῆ. προσέτι δὲ πολλὰ καὶ τοῖς θεοῖς μέμφεσθαι. ἡ δὲ τῆς ἰδίας διανοίας αἰδὼς καὶ τιμὴ, σεαυτῷ τε ἀρεστόν σε ποιήσει, καὶ τοῖς κοινωνικοῖς εὐάρμοστον, καὶ τοῖς θεοῖς σύμφωνον· τουτέστιν, ἐπαινοῦντα ὅσα ἐκεῖνοι διανέμουσι καὶ διατετάχασιν. Ἄνω, κάτω, κύκλῳ φοραὶ τῶν στοιχείων. ἡ δὲ τῆς ἀρετῆς κίνησις ἐν οὐδεμιᾷ τούτων, ἀλλὰ θειότερόν τι, καὶ ὁδῷ δυσεπινοήτῳ προϊοῦσα εὐοδεῖ. Οἷόν ἐστιν ὃ ποιοῦσιν. τοὺς μὲν ἐπὶ τοῦ αὐτοῦ χρόνου, καὶ μεθ' ἑαυτῶν ζῶντας ἀνθρώπους εὐφημεῖν οὐ θέλουσιν. αὐτοὶ δὲ ὑπὸ τῶν μεταγενεστέρων εὐφημηθῆναι, οὓς οὔτε εἶδον ποτὲ, οὔτε ὄψονται, περὶ πολλοῦ ποιοῦνται. τοῦτο δὲ ἐγγύς ἐστι τῷ λυπηθῆναι ἄν, ὅτι οὐχὶ καὶ οἱ προγενέστεροι περὶ σοῦ λόγους εὐφήμους ἐποιοῦντο. Μὴ εἴ τι αὐτῷ σοι δυσκατέργαστον, τοῦτο ἀνθρώπῳ ἀδύνατον ὑπολαμβάνειν. ἀλλ' εἴ τι ἀνθρώπῳ δυνατὸν καὶ οἰκεῖον, τοῦτο καὶ σεαυτῷ ἐφικτὸν νόμιζε. Ἐν τοῖς γυμνασίοις καὶ ὄνυξι κατέδρυψέ τις, καὶ τῇ κεφαλῇ ἐῤῥαγεὶς, πληγὴν ἐποίησεν.

ἀλλ'

ἀλλ' οὔτε ἐπισημαινόμεθα, οὔτε προσκόπτομεν,
οὔτε ὑφορώμεθα ὕστερον ὡς ἐπίβουλον, καίτοι
φυλαττόμεθα, οὐ μέν τοι ὡς ἐχθρὸν οὐδὲ μεθ' ὑ-
ποψίας, ἀλλ' ἐκκλίσεως εὐμενοῦς. τοιοῦτόν τοι
γινέσθω, καὶ ἐν τοῖς λοιποῖς μέρεσι τοῦ βίου. πολ-
λὰ παρενθυμώμεθα τῶν οἷον προσγυμναζομένων.
ἔξεστι γὰρ ὡς ἔφην ἐκκλίνειν, καὶ μηδὲ ὑποπτεύειν,
μηδὲ ἀπεχθάνεσθαι. Εἴ τις με ἐλέγξαι καὶ παραστῆσαί
μοι, ὅτι οὐκ ὀρθῶς ὑπολαμβάνω, ἢ πράσσω,
δύναται, χαίρων μεταθήσομαι. ζητῶ γὰρ τὴν ἀλή-
θειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη. βλάπτεται δὲ
ὁ ἐπιμένων ἐπὶ τῆς ἑαυτοῦ ἀπάτης καὶ ἀγνοίας.
ἐγὼ δὲ ἐμαυτοῦ καθῆκον ποιῶ. τὰ ἄλλα με οὐ περι-
σπᾷ. ἤτοι γὰρ ἄψυχα, ἢ ἄλογα, ἢ πεπλανημένα, καὶ
τὴν ὁδὸν ἀγνοοῦντα. τοῖς μὲν ἀλόγοις ζώοις, καὶ καθό-
λου πράγμασι καὶ ὑποκειμένοις, ὡς λόγον ἔχων,
λόγον μὴ ἔχουσι χρῶ μεγαλοφρόνως καὶ ἐλευθέ-
ρως. τοῖς δὲ ἀνθρώποις, ὡς λόγον ἔχουσι χρῶ κοινω-
νικῶς. Ἐφ' ἅπασι δὲ θεοὺς ἐπικαλοῦ, καὶ μὴ διαφέ-
ρου πρὸς τὸ πόσῳ χρόνῳ ταῦτα πράξεις. ἀρκοῦσι
γὰρ καὶ τρεῖς ὧραι τοιαῦται. Ἀλέξανδρος ὁ Μακεδὼν,
καὶ ὁ ὀρεωκόμος αὐτοῦ ἀποθανόντες εἰς τ' αὐτὸ
κατέστησαν. ἢ γὰρ ἐλήφθησαν εἰς τοὺς αὐτοὺς τοῦ
κόσμου σπερματικοὺς λόγους· ἢ διεσκεδάσθησαν
ὁμοίως εἰς τὰς ἀτόμους. Ἐνθυμήθητι πόσα κατὰ τὸ
αὐτὸ ἀκαριαῖον χρόνον ἐν ἑκάστῳ ἡμῶν ἅμα γίνε-

ται,

ται, σωματικαὶ ὁμοῦ καὶ ψυχικαί, καὶ οὕτως οὐ θαυμά-
σεις εἰ πολὺ πλείω, μᾶλλον δὲ πάντα τὰ γινό-
μενα ἐν τῷ ἑνί τε καὶ σύμπαντι, ὃ δὴ κόσμον ὀνο-
μάζομεν, ἅμα ἐνυφίσταται. ἐάν τίς σοι προβάλῃ
πῶς γράφεται τὸ Ἀντωνίνου ὄνομα; μήτι κατεντει-
νόμενος προοίσῃ ἕκαστον τῶν στοιχείων; τί οὖν ἐὰν ὀρ-
γίζωνται, μὴ ἀντοργιῇ; μήτι οὐκ ἐξαριθμήσῃ πρά-
ως, προϊὼν ἕκαστον τῶν γραμμάτων; οὕτως οὖν καὶ
ἐνθάδε μέμνησο, ὅτι πᾶν καθῆκον ἐξ ἀριθμοῦ
τινων συμπληροῦται. τούτους δεῖ τηροῦντα, καὶ μὴ θο-
ρυβούμενον, μηδὲ τοῖς δυσχεραίνουσιν ἀντιδυσχεραί-
νοντα, περαίνειν ὁδῷ τὸ προκείμενον. πῶς ὠμόν
ἐστι μὴ ἐπιτρέπειν τοῖς ἀνθρώποις ὁρμᾶν ἐπὶ τὰ
φαινόμενα αὐτοῖς οἰκεῖα καὶ συμφέροντα. καίτοι
τρόπον τινὰ οὐ συγχωρεῖς αὐτοῖς τοῦτο ποιεῖν, ὅταν
ἀγανακτῇς ὅτι ἁμαρτάνουσι. φέρονται γὰρ πάν-
τως ὡς ἐπὶ οἰκεῖα καὶ συμφέροντα αὐτοῖς. Ἀλλ' οὐκ
ἔχει οὕτως. οὐκοῦν δίδασκε, καὶ δείκνυε, μὴ ἀγα-
νακτῶν. Θάνατος ἀνάπαυλα αἰσθητικῆς ἀντιτυ-
πίας, καὶ ὁρμητικῆς νευροσπαστείας, καὶ διανοητικῆς
διεξόδου, καὶ τῆς πρὸς τὴν σάρκα λειτουργίας. αἰσχρόν
ἐστιν ἐν ᾧ βίῳ τὸ σῶμα σοι μὴ ἀπαυδᾷ, ἐν τούτῳ τὴν
ψυχὴν προαπαυδᾶν. Ὅρα μὴ ἀποκαισαρωθῇς,
μὴ βαφῇς. γίνεται γάρ. τήρησον οὖν σεαυτὸν ἁπλοῦν, ἀγα-
θόν, ἀκέραιον, σεμνόν, ἄκομψον, τοῦ δικαίου φίλον,
θεοσεβῆ, εὐμενῆ, φιλόστοργον, ἐρρωμένον πρὸς τὰ

πρέποντα

πρέπονται ἔργα ἀγώνισαι, ἵνα τοιοῦτος συμμείνῃς, οἷόν σε ἠθέλησε ποιῆσαι φιλοσοφία. Αἰδοῦ θεούς, σῶζε ἀνθρώπους, βραχὺς ὁ βίος, εἷς καρπὸς τῆς ἐπιγείου ζωῆς διάθεσις ὁσία, καὶ πράξεις κοινωνικαί. Πάντα ὡς Ἀντωνίνου μαθητής. τὸ ὑπὲρ τῶν κατὰ λόγον πρασσομένων εὔτονον ἐκείνου, καὶ τὸ ὁμαλὲς πανταχοῦ, καὶ τὸ ὅσιον, καὶ τὸ εὔδιον τοῦ προσώπου, καὶ τὸ μειλίχιον, καὶ τὸ ἀκενόδοξον· καὶ τὸ περὶ τὴν κατάληψιν τῶν πραγμάτων φιλότιμον. καὶ ὡς ἐκεῖνος οὐκ ἄν τι ὅλως παρῆκεν, μὴ πρότερον εὖ μάλα κατιδὼν, καὶ σαφῶς νοήσας, καὶ ὡς ἔφερεν ἐκεῖνος τοὺς ἀδίκως αὐτὸν μεμφομένους μὴ ἀντιμεμφόμενος. καὶ ὡς ἐπ' οὐδὲν ἔσπευδεν, καὶ ὡς διαβολὰς οὐκ ἐδέχετο· καὶ ὡς ἀκριβὴς ἦν ἐξεταστὴς ἠθῶν καὶ πράξεων· καὶ οὐκ ὀνειδιστὴς, οὐ ψοφοδεὴς, οὐχ ὑπόπτης, οὐ σοφιστὴς· καὶ ὡς ὀλίγοις ἀρκούμενος, οἷον οἰκήσει, στρωμνῇ, ἐσθῆτι, τροφῇ, ὑπηρεσίᾳ. καὶ ὡς φιλόπονος, καὶ μακρόθυμος, καὶ οἷος ἦν ἐν τῷ μέχρι ἑσπέρας διὰ τὴν λιτὴν δίαιταν, μηδὲ τοῦ ἀποκρίνειν τὰ περιττώματα παρὰ τὴν συνήθη ὥραν χρήζων, καὶ τὸ βέβαιον καὶ ὅμοιον ἐν ταῖς φιλίαις αὐτοῦ· καὶ τὸ ἀνέχεσθαι ἀντιβαινόντων παῤῥησιαστικῶς ταῖς γνώμαις αὐτοῦ καὶ χαίρειν, εἴ τις δεικνύοι κρεῖττον, καὶ ὡς θεοσεβὴς χωρὶς δεισιδαι-

μονίας,

μονίας, ἵν' οὕτως εὐσυνειδήτῳ σοι ἐπιστῇ ἡ τελευταία ὥρα ὡς ἐκείνῳ. Ἀνάνηφε καὶ ἀνακαλοῦ σεαυτὸν, καὶ ἐξυπνισθεὶς πάλιν καὶ ἐννοήσας ὅτι ὄνειροί σοι ἠνώχλουν, πάλιν ἐγρηγορὼς βλέπε ταῦτα ὡς ἐκεῖνα ἔβλεπες ἐκ σωματίου, εἰμὶ καὶ ψυχῆς. Τῷ μὲν οὖν σωματίῳ, πάντα ἀδιάφορα. οὐδὲ γὰρ δύναται διαφέρεσθαι. τῇ δὲ διανοίᾳ ἀδιάφορα, ὅσα μή ἐστιν αὐτῆς ἐνεργήματα. ὅσα δέ γε αὐτῆς ἐστιν ἐνεργήματα, ταῦτα πάντα ἐπ' αὐτῇ ἐστιν. καὶ τούτων μέντοι περὶ μόνον τὸ παρὸν πραγματεύεται. τὰ γὰρ μέλλοντα καὶ παρῳχηκότα ἐνεργήματα αὐτῆς, καὶ αὐτὰ ἤδη ἀδιάφορα. Οὐκ ἔστιν ὁ πόνος τῇ χειρὶ, οὐδὲ τῷ ποδὶ παρὰ φύσιν, μέχρις ἂν ποιῇ ὁ ποὺς τὸ τοῦ ποδὸς, καὶ ἡ χεὶρ τὰ τῆς χειρός. οὕτως οὖν οὐδὲ ἀνθρώπῳ ὡς ἀνθρώπῳ παρὰ φύσιν ἐστὶν ὁ πόνος, μέχρις ἂν ποιῇ τὰ τοῦ ἀνθρώπου. εἰ δὲ παρὰ φύσιν αὐτῷ οὐκ ἔστιν, οὐδὲ κακὸν οὐκ ἔστιν αὐτῷ. Ἡλίκας ἡδονὰς ἥσθησαν λῃσταὶ κίναιδοι, πατραλοῖαι, τύραννοι; οὐχ ὁρᾷς πῶς οἱ βάναυσοι τεχνῖται ἁρμόζονται μὲν ἄχρι τινὸς πρὸς τοὺς ἰδιώτας, οὐδὲν ἧσσον μέντοι ἀντέχονται τοῦ λόγου τῆς τέχνης, καὶ τούτου ἀποστῆναι οὐχ ὑπομένουσιν; Οὐ δεινὸν εἰ ὁ ἀρχιτέκτων, καὶ ὁ ἰατρὸς μᾶλλον αἰδέσονται τὸν τῆς ἰδίας τέχνης λόγον, ἢ ὁ ἄνθρωπος τὸν ἑαυτοῦ, ὃς αὐτῷ κοινός ἐστι πρὸς τοὺς θεούς. Ἡ Ἀσία, ἡ Εὐρώπη, γωνίαι τοῦ κόσμου, πᾶν πέλαγος, σταγὼν τοῦ κόσμου, Ἄθως βω-

λάριον

λάριον τοῦ κόσμου. πᾶν δὲ ἐνεστὼς τοῦ χρόνου, στιγμὴ τοῦ αἰῶνος. πάντα μικρά, εὔτρεπτα, ἐναφανιζόμενα, πάντα ἐκεῖθεν ἔρχεται, ἀπ' ἐκείνου τοῦ κοινοῦ ἡγεμονικοῦ ὁρμήσαντα, ἢ κατ' ἐπακολούθησιν. καὶ τὸ χάσμα οὖν τοῦ λέοντος, καὶ τὸ δηλητήριον, καὶ πᾶσα κακουργία, ὡς ἄκανθα, ὡς βόρβορος, ἐκείνων ἐπιγεννήματα. Τῶν σεμνῶν καὶ καλῶν. μὴ οὖν αὐτὰ ἀλλότρια τούτου οὗ σέβῃς φαντάζου. ἀλλὰ τὴν πάντων πηγὴν ἐπιλογίζου. Ὁ τὰ νῦν ἰδὼν, πάντα ἑώρακεν, ὅσα τε ἐξ ἀϊδίου ἐγένετο, καὶ ὅσα εἰς τὸ ἄπειρον ἔσται. πάντα γὰρ ὁμογενῆ καὶ ὁμοειδῆ. πολλάκις ἐνθυμοῦ τὴν ἐπισύνδεσιν πάντων τῶν ἐν τῷ κόσμῳ, καὶ σχέσιν πρὸς ἄλληλα. τρόπον γάρ τινα πάντα ἀλλήλοις ἐπιπέπλεκται, καὶ πάντα κατὰ τοῦτο φίλα ἀλλήλοις ἐστί. καὶ γὰρ ἄλλῳ ἑξῆς ἐστι τοῦτο, διὰ τὴν τονικὴν κίνησιν καὶ σύμπνοιαν, καὶ τὴν ἕνωσιν τῆς οὐσίας. Οἷς συγκεκλήρωσαι πράγμασι, τούτοις συνάρμοζε σεαυτόν· καὶ οἷς συνείληχας ἀνθρώποις, τούτους φίλει, ἀλλ' ἀληθινῶς. ὄργανον, ἐργαλεῖον, σκεῦος πᾶν, εἰ πρὸς ὃ κατεσκεύασται ποιεῖ, εὖ ἔχει. καίτοι ἐκεῖ ὁ κατασκευάσας ἐκποδών· ἐπὶ δὲ τῶν ὑπὸ φύσεως συνεχομένων, ἔνδον ἐστί, καὶ παραμένει ἡ κατασκευάσασα δύναμις· καθὸ καὶ μᾶλλον αἰδεῖσθαί σε αὐτὴν δεῖ καὶ νομίζειν, ἐὰν κατὰ τὸ βούλημα ταύτης ἔχῃς καὶ διεξάγῃς ἔχειν σοι πάντα κατὰ νοῦν. ἔχει δὲ οὕτως καὶ τῷ

παντὶ

ταυτὶ κατὰ νοῦν τὰ ἑαυτοῦ. Ὅτι ἂν τῶν ἀπροαιρέτων
ὑποστήσῃς αὐτῷ ἀγαθὸν, ἢ κακὸν, ἀνάγκη κατὰ
τὴν περίπτωσιν τοῦ τοιούτου κακοῦ ἢ τὴν ἀπότευ-
ξιν τοῦ τοιούτου ἀγαθοῦ, μέμψασθαί σε θεοῖς, καὶ ἀν-
θρώπους δὲ μισῆσαι τοὺς αἰτίους ὄντας, ἢ ὑποπτευο-
μένους ἔσεσθαι τῆς ἀποτεύξεως, ἢ τῆς περιπτώσεως.
καὶ ἀδικοῦμεν δὲ πολλὰ, διὰ τὴν πρὸς ταῦτα δια-
φοράν. ἐὰν δὲ μόνα τὰ ἐφ' ἡμῖν ἀγαθὰ καὶ κακὰ
κρίνωμεν, οὐδεμία αἰτία καταλείπεται, οὔτε θεῷ
ἐγκαλέσαι, οὔτε πρὸς ἄνθρωπον στῆναι στάσιν πο-
λεμίου. πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν,
οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς; οἱ δὲ ἀνεπι-
στάτως. ὥσπερ καὶ τοὺς καθεύδοντας οἶμαι ὁ Ἡρά-
κλειτος ἐργάτας εἶναι λέγει, καὶ συνεργοὺς τῶν ἐν τῷ
κόσμῳ γινομένων. ἄλλος δὲ κατ' ἄλλο συνεργεῖ,
ἐκ περιουσίας δὲ καὶ ὁ μεμφόμενος, καὶ ὁ ἀντιβαί-
νειν πειρώμενος, καὶ ἀναιρεῖν τὰ γινόμενα. καὶ γὰρ τοῦ
τοιούτου ἔχρῃζεν ὁ κόσμος. λοιπὸν οὖν σύνες εἰς τί-
νας ἑαυτὸν κατατάσσεις· ἐκεῖνος μὲν γὰρ πάντως
σοι καλῶς χρήσεται ὁ τὰ ὅλα διοικῶν. καὶ παρα-
δέξεταί σε εἰς μέρος τι τῶν συνεργῶν καὶ συνεργη-
τικῶν. ἀλλὰ σὺ μὴ τοιοῦτο μέρος γένῃ. οἷος ὁ εὐτε-
λὴς καὶ γελοῖος στίχος ἐν τῷ δράματι, οὗ Χρύσιπ-
πος μέμνηται. Μήτι ὁ ἥλιος τὰ τοῦ ὑετοῦ ἀξιοῖ ποιεῖν;
μήτι ὁ Ἀσκληπιὸς τὰ τῆς καρποφόρου; τί δὲ
τῶν ἄστρων ἕκαστον, οὐχὶ διάφορα μὲν, συνερ-

γαὶ δὲ πρὸς τουτόν; Εἰ μὲν οὖν ἐβουλεύσαντο περὶ ἐμοῦ καὶ τῶν ἐμοὶ συμβῆναι ὀφειλόντων οἱ θεοὶ, καλῶς ἐβουλεύσαντο. ἄβουλον γὰρ θεόν, οὐδὲ ἐπινοῆσαι ῥάδιον. κακοποιῆσαι δέ με διὰ τίνα αἰτίαν ἔμελλον ὁρμᾶν; τί γὰρ αὐτοῖς ἢ τῷ κοινῷ οὗ μάλιστα προνοοῦνται, ἐκ τούτου περιεγίνετο; εἰ δὲ μὴ ἐβουλεύσαντο κατ' ἰδίαν περὶ ἐμοῦ, περί γε τῶν κοινῶν πάντως ἐβουλεύσαντο, οἷς κατ' ἐπακολούθησιν καὶ ταῦτα συμβαίνοντα, ἀσπάζεσθαι καὶ στέργειν ὀφείλω. εἰ δ' ἄρα περὶ μηδενὸς βουλεύονται, πιστεύειν μὲν οὐχ ὅσιον. ἢ μηδὲ θύωμεν, μηδὲ εὐχώμεθα, μηδὲ ὀμνύωμεν, μηδὲ τὰ ἄλλα πράττωμεν, ἅπερ ἕκαστα ὡς πρὸς παρόντας καὶ συμβιοῦντας τοὺς θεοὺς πράττομεν. εἰ δὲ ἄρα περὶ μηδενὸς τῶν καθ' ἡμῶν βουλεύονται· ἐμοὶ μὲν ἔξεστι περὶ ἐμαυτοῦ βουλεύεσθαι· ἐμοὶ δέ ἐστι σκέψις περὶ τοῦ συμφέροντος. συμφέρει δὲ ἑκάστῳ, τὸ κατὰ τὴν ἑαυτοῦ κατασκευὴν καὶ φύσιν. ἡ δὲ ἐμὴ φύσις λογικὴ καὶ πολιτική· πόλις καὶ πατρὶς, ὡς μὲν Ἀντωνίνῳ μοι ἡ Ῥώμη. ὡς δὲ ἀνθρώπῳ, ὁ κόσμος. τὰ ταῖς πόλεσιν οὖν ταύταις ὀφέλιμα μόνα ἐστί μοι ἀγαθά. Ὅσα ἑκάστῳ συμβαίνει, ταῦτα τῷ ὅλῳ συμφέρει. ἤρκει τοῦτο, ἀλλ' ἔτι ἐκεῖνο ὡς ἐπίπαν ὄψει παραφυλάξας. ὅσα ἀνθρώπῳ ἢ ἑτέροις ἀνθρώποις. κοινότερον δὲ νῦν τὸ συμφέρον ἐπὶ τῶν μέσων λαμβανέσθω.

νιάθω. Ὥσπερ προσίσταταί σοι τὰ ἀμφὶ τῷ θεάτρῳ, καὶ τοῖς τοιούτοις χωρίοις, ὡς ἀεὶ τὰ αὐτὰ ὁρώμενα, καὶ τὸ ὁμοειδὲς προσκορῆ τὴν θέαν ποιεῖ. τοῦτο καὶ ἐπὶ ὅλου τοῦ βίου πάσχε. πάντα γὰρ ἄνω κάτω τὰ αὐτὰ, καὶ ἐκ τῶν αὐτῶν. μέχρι τίνος οὖν; ἐννόει συνεχῶς παντοίους ἀνθρώπους, καὶ παντοίων μὲν ἐπιτηδευμάτων, παντοδαπῶν δὲ ἐθνῶν τεθνεῶτας. ὥστε κατιέναι τοῦτο μέχρι Φιλιστίωνος καὶ Φοίβου, καὶ Ὀριγανίωνος. μέτιθι νῦν ἐπὶ τὰ ἄλλα φῦλα. ἐκεῖ δὴ μεταβαλεῖν ἡμᾶς δεῖ, ὅπου τοσοῦτοι μὲν δεινοὶ ῥήτορες, τοσοῦτοι δὲ σεμνοὶ φιλόσοφοι. Ἡράκλειτος, Πυθαγόρας, Σωκράτης. τοσοῦτοι δὲ ἥρωες πρότερον. τοσοῦτοι δὲ ὕστερον στρατηγοὶ, τύραννοι. ἐπὶ τούτοις δὲ Εὔδοξος. Ἵππαρχος, Ἀρχιμήδης, ἄλλαι φύσεις ὀξεῖαι μεγαλόφρονες, φιλόπονοι, πανοῦργοι, αὐθάδεις, αὐτῆς τῆς ἐπικήρου καὶ ἐφημέρου τῶν ἀνθρώπων ζωῆς χλευασταὶ, οἷον Μένιππος, καὶ ὅσοι τοιοῦτοι. περὶ πάντων τούτων ἐννόει ὅτι πάλαι κεῖνται. τί οὖν τοῦτο δεινὸν αὐτοῖς; τί δαὶ τοῖς μηδ᾽ ὀνομαζομένοις ὅλως. Ἓν ὧδε πολλοῦ ἄξιον, τὸ μετ᾽ ἀληθείας καὶ δικαιοσύνης εὐμενῆ τοῖς ψεύσταις καὶ ἀδίκοις διαβιοῦν. Ὅταν εὐφρᾶναι σεαυτὸν θέλῃς, ἐνθυμοῦ τὰ προτερήματα τῶν συμβιούντων. οἷον τοῦ μὲν, τὸ δραστήριον· τοῦ δὲ τὸ αἰδῆμον· τοῦ δὲ τὸ εὐμετάδοτον, ἄλλου δὲ ἄλλο τι. οὐδὲν γὰρ οὕτως εὐφραίνει, ὡς τὰ ὁμοιώματα τῶν

ἀρετῶν ἐμφαινόμενα τοῖς ἤθεσι τῶν συζώντων, καὶ ἀ-
θρόα ὡς οἷόν τε συμπίπτοντα. διὸ καὶ πρόχειρα αὐ-
τὰ ἑκτέον. Μήτι δυσχεραίνεις ὅτι τοσῶνδέ τινων λι-
τρῶν εἶ, καὶ οὐ τριακοσίων; οὕτω δὴ καὶ ὅτι μέχρι τοσῶνδε
δὲ ἐτῶν βιωτέον σοι, καὶ οὐ μέχρι πλείονος. ὥσπερ γὰρ
τῆς οὐσίας, ὅσον ἀφώρισταί σοι στέργεις, οὕτως καὶ ἐπὶ
τοῦ χρόνου πειρῶμεν πείθειν αὐτούς. Πρᾶττε δὲ καὶ τῶν
ἀκόντων, ὅταν τῆς δικαιοσύνης ὁ λόγος οὕτως
ἄγῃ. ἐὰν μέντοι βίᾳ τις προσχρώμενος ἐνίστηται,
μετάβαινε ἐπὶ τὸ εὐάρεστον καὶ ἄλυπον, καὶ συγ-
χρῶ εἰς ἄλλην ἀρετὴν τῇ κωλύσει. καὶ μέμνησο
ὅτι μεθ' ὑπεξαιρέσεως ὁρμᾶς, ὅτι καὶ τῶν ἀδυνά-
των οὐκ ὀρέγου. τίνος οὖν; τῆς τοιᾶσδέ τινος ὁρμῆς.
τούτου δὲ τυγχάνεις, ἐφ' οἷς προήχθημεν, ταῦτα
γίνεται. Ὁ μὲν φιλόδοξος ἀλλοτρίαν ἐνέργειαν ἴδιον
ἀγαθὸν ὑπολαμβάνει. ὁ δὲ φιλήδονος ἰδίαν πεῖ-
σιν. ὁ δὲ νοῦν ἔχων ἰδίαν πρᾶξιν. ἔξεστι περὶ τούτου
μηδὲν ὑπολαμβάνειν, καὶ μὴ ὀχλεῖσθαι τῇ ψυχῇ, αὐ-
τὰ γὰρ τὰ πράγματα οὐκ ἔχει φύσιν ποιητικὴν τῶν
ἡμετέρων κρίσεων. Ἔθισον σεαυτὸν πρὸς τὸ ὑφ' ἑ-
τέρου λεγομένῳ γίνεσθαι ἀπαρενθυμήτως, καὶ
ὡς οἷόν τε ἐν τῇ ψυχῇ τοῦ λέγοντος γίνου. Τὸ τῷ
σμήνει μὴ συμφέρον, οὐδὲ τῇ μελίσσῃ συμφέρει. εἰ κυ-
βερνῶνται, οἱ ναῦται, ἢ ἰατρεύονται οἱ κάμνοντες κα-
κῶς ἔλεγον, ἄλλῳ τινὶ ἂν προσεῖχον, ἢ πῶς αὐ-
τὸς ἐνεργοίη, τὸ τοῖς ἐμπλέουσι σωτήριον, ἢ τὸ τοῖς

θερα

θεραπευομένοις ὑγιεινόν; πόσοι μεθ' ὧν εἰσῆλθον εἰς τὸν κόσμον ἤδη ἀπεληλύθασιν. ἰκτεριῶσι, τὸ μέλι πικρὸν φαίνεται. καὶ λυσσοδήκτοις τὸ ὕδωρ φοβερόν· καὶ παιδίῳ τὸ σφαιρίον καλόν. Τί οὖν ὀργίζομαι, ἢ δοκεῖ σοι ἔλασσον ἰσχύειν τὸ διεψευσμένον, ἢ τὸ χολίον τῷ ἰκτεριῶντι, καὶ ὁ ἰὸς τῷ λυσσοδήκτῳ. κατὰ τὸν λόγον τῆς σῆς φύσεως, βιοῦν σε οὐδεὶς κωλύσει. παρὰ τὸν λόγον τῆς κοινῆς φύσεως οὐδέν σοι συμβήσεται. οἷοί εἰσιν οἷς θέλουσιν ἀρέσκειν, καὶ δι' οἷα περιγινόμενα; καὶ δι' οἵων ἐνεργειῶν; ὡς ταχέως ὁ αἰὼν πάντα καλύψει, καὶ ὅσα ἐκάλυψεν ἤδη.

ΜΑ'ΡΚΟΥ ἈΝΤΩΝΙ'-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ζ.

ΤΙ' ἐστι κακία; τοῦτ' ἔστιν ὃ πολλάκις εἶδες. καὶ ἐπὶ παντὸς δὲ τοῦ συμβαίνοντος πρόχειρον ἔχε, ὅτι τοῦτό ἐστιν ὃ πολλάκις εἶδες. ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεσταὶ αἱ ἱστορίαι αἱ παλαιαί, αἱ μέσαι, αἱ ὑπόγυοι, ὧν νῦν μεσταὶ αἱ πόλεις, καὶ οἰκίαι, οὐδὲν καινόν·

πάντα καὶ συνήθη ὀλιγοχρόνια. Τὰ δόγματα πῶς ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ καταλλήλοι αὐτοῖς φαντασίαι σβεσθῶσιν, ὡς διηνεκῶς ἀναζωπυρεῖν, ἐπὶ σοί ἐστι δύναμαι περὶ τούτου ὃ δεῖ ὑπολαμβάνειν· εἰ δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν. τοῦτο μάθε, καὶ ὀρθός εἶ. ἀναβιῶναί σοι ἔξεστιν. ἴδε πάλιν τὰ πράγματα ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι. Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοί, κυνιδίοις ὀστάριον ἐρριμμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς. μυρμήκων ταλαιπωρίαι, καὶ ἀχθοφορίαι, μυϊδίων ἐπτοημένων διαδρομαί. σιγιλλάρια νευροσπαστούμενα. χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ φρυαττόμενον ἑστάναι. παρακολουθεῖν μέντοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν, ὅσου ἄξια ἐστὶ ταῦτα περὶ ἃ ἐσπούδακεν. Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις, καὶ καθ᾽ ἑκάστην ὁρμὴν τοῖς γινομένοις. καὶ ἐπὶ μὲν τοῦ ἑτέρου, εὐθὺς ὁρᾶν ἐπὶ τίνα σκοπὸν ἡ ἀναφορά. ἐπὶ δὲ τοῦ ἑτέρου παραφυλάσσειν τί τὸ σημαινόμενον. πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο, ἢ οὔ. εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι. εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἐπιτελέσαι, ἐὰν ἄλλως τοῦτο μὴ καθήκῃ. ἢ πράσ-

σω ὡς

καὶ ὡς δύναμιν προσπαραλαβὼν τὸν δυνάμενον
κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς
τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. ὅτι γὰρ ἂν
δι' ἐμαυτοῦ, ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συν-
τείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον. Ὅσοι μὲν
πολυύμνητοι γενόμενοι, ἤδη λήθῃ παραδέδον-
ται. ὅσοι δὲ τούτους ὑμνήσαντες, πάλαι ἐκ πο-
δών. Μὴ αἰσχύνου βοηθούμενος. πρόκειται γάρ σοι
ἀνύειν τὸ ἐπιβάλλον, ὡς στρατιώτῃ ἐν τειχο-
μαχίᾳ. Τί οὖν ἐὰν σὺ μὲν χωλαίνων ᾖς τὴν ἔπαλ-
ξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνα-
τὸν ᾖ τοῦτο; Τὰ μέλλοντα μὴ ταρασσέτω. ἥξεις γὰρ
ἐπ' αὐτὰ ἐὰν δέῃ, φέρων τὸν αὐτὸν λόγον, ᾧ νῦν
πρὸς τὰ παρόντα χρᾷ. Πάντα ἀλλήλοις ἐπι-
πλέκεται. καὶ ἡ σύνδεσις ἱερά, καὶ σχεδόν τι οὐδὲν
ἀλλότριον ἄλλο ἄλλῳ. συγκατατέτακται γὰρ καὶ συγ-
κοσμεῖ τὸν αὐτὸν κόσμον. κόσμος τε γὰρ εἷς διὰ ἁ-
πάντων, καὶ θεὸς εἷς διὰ πάντων, καὶ οὐσία μία
καὶ νόμος εἷς. λόγος κοινὸς πάντων τῶν νοερῶν
ζώων, καὶ ἀλήθεια μία, εἴγε καὶ τελειότης μία τῶν ὁ-
μογενῶν, καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζώων.
πᾶν τὸ ἔνυλον, ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων
οὐσίᾳ· καὶ πᾶν αἴτιον, εἰς τὸν τῶν ὅλων λόγον τάχιστα
ἀναλαμβάνεται· καὶ παντὸς μνήμη τάχιστα ἐγκα-
ταχώννυται τῷ αἰῶνι. Τῷ λογικῷ ζώῳ ἡ αὐτὴ
πρᾶξις κατὰ φύσιν ἐστὶ, καὶ κατὰ λόγον. ὀρθὸς, ἢ ὀρθού-

μένος. οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικὰ, πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συστήματος. ἐὰν δὲ διὰ τοῦ ρῶ στοιχείου μέρος εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους· οὔπω σε καταληπτικῶς εὐφραίνει τὸ εὐεργετεῖν. ἔτι ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς· οὔπω ὡς αὑτὸν εὖ ποιῶν. Ὃ θέλει ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. ἐκεῖνα γὰρ ἐὰν θελήσῃ μέμψεται τὰ παθόντα. ἐγὼ δὲ ἐὰν μὴ ὑπολάβω ὅτι κακὸν τὸ συμβεβηκὸς, οὔπω βέβλαμμαι. ἔξεστι δέ μοι μὴ ὑπολαβεῖν. Ὅ, τι ἄν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι. ὡς ἂν εἰ ὁ χρυσὸς ἢ ὁ σμάραγδος, ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν, ὅ, τις ἂν ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι, καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν. Τὸ ἡγεμονικὸν, αὐτὸ ἑαυτῷ οὐκ ἐνοχλεῖ. οἷον λέγω, οὐ φοβεῖ ἑαυτὸ εἰς ἐπιθυμίαν. εἰ δὲ τις ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω. αὐτὸ γὰρ ἑαυτὸ ὑποληπτικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ μεριμνάτω εἰ δύναται, καὶ λεγέτω εἴ τι πάσχει. τὸ δὲ ψυχάριον, τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ περὶ τούτων ὅλως ὑπολαμβάνον, οὐδὲν μὴ πάθῃ. οὐ

θῇ. οὐ γὰρ ἕξεις αὐτὸ εἰς κρίσιν τοιαύτην. ἀπροσδεές ἐστιν ὅσον ἐφ' ἑαυτῷ, τὸ ἡγεμονικὸν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ. καὶ κατὰ ταῦτα δὲ ἀτάραχον, καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ. Εὐδαιμονία ἐστὶ, δαίμων ἀγαθὸς, ἢ ἀγαθόν. τί οὖν ὧδε ποιεῖς ὦ φαντασία; ἄπερχου τοὺς θεούς σοι, ὡς ἦλθες, οὐ γὰρ χρῄζω σου. ἐλήλυθας δὲ κατὰ τὸ ἀρχαῖον ἔθος. οὐκ ὀργίζομαί σοι. μόνον ἄπιθι. Φοβεῖταί τις μεταβολήν. τί γὰρ δύναται χωρὶς μεταβολῆς γενέσθαι; τί δαὶ φίλτερον ἢ οἰκειότερον τῇ τῶν ὅλων φύσει; Σὺ δὲ αὐτὸς λούσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλλῃ; ἄλλο δέ τι τῶν χρησίμων δύναται συντελεσθῆναι χωρὶς μεταβολῆς; οὐχ ὁρᾷς οὖν ὅτι καὶ αὐτὸ τό σε μεταβαλεῖν ὅμοιόν ἐστι, καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅλων φύσει; Διὰ τῆς τῶν ὅλων οὐσίας, ὡς διὰ χειμάρρου διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργὰ, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις. πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκράτεις, πόσους Ἐπικτήτους καταπέπωκε; τὸ δ' αὐτὸ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν σοι ἀνθρώπου τε καὶ πράγματος προσπιπτέτω. Ἐμὲ ἓν μόνον περισπᾷ, μή τι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ ἀνθρώπου οὐ θέλει, ἢ ὡς οὐ θέλει, ἢ ὃ νῦν οὐ θέλει. ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη. ἐγγὺς δὲ

ἡ παν-

ἡ πάντων περὶ σοῦ λήθη. Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας. τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς, καὶ δι' ἄγνοιαν, καὶ ἄκοντες ἁμαρτάνουσι, καὶ ὡς μετ' ὀλίγον ἀμφότεροι τεθνήξετε. καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε. οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν. Ἡ τῶν ὅλων φύσις, ἐκ τῆς ὅλης οὐσίας, ὡς κηροῦ, νῦν μὲν ἱππάριον ἔπλασε, συγχέασα δὲ τοῦτο, εἰς δένδρου φύσιν συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἀνθρωπάριον; εἶτα εἰς ἄλλο τι. ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ· ὥσπερ οὐδὲ τὸ συμπαγῆναι· Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν πολλάκις ἐναποθνήσκειν ᾖ πρόσχημα. ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι. αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον. εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία; Πάντα ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις, καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει. καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος. Ὅταν τις ἁμάρτῃ τι εἰς σὲ, εὐθὺς ἐνθυμοῦ τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε. τοῦτο γὰρ ἰδών, ἐλεήσεις αὐτὸν, καὶ οὔτε θαυμάσεις, οὔτε ὀργισθήσῃ.

ἤτοι

ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις, ἢ ἄλλο ὁμοειδές. δεῖ οὖν συγγινώσκειν. εἰ δὲ μηκέτι ὑπολαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ καὶ κακά, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι. Μὴ τὰ ἀπόντα ἐννοεῖν ὡς ἤδη ὄντα· ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι, καὶ τούτων χάριν ὑπομιμνήσκεσθαι, πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν· ἅμα μέντοι φυλάσσου, μὴ διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς, ἐθίσῃς ἐκτιμᾶν αὐτά, ὥστε ἐάν ποτε μὴ παρῇ ταραχθήσεσθαι. εἰς ἑαυτὸν συνειλοῦ. φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικὸν, ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι, καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι. Ἐξάλειψον τὴν φαντασίαν. στῆσον τὴν νευροσπαστίαν. περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου, γνώρισον τὸ συμβαῖνον, ἢ σοί, ἢ ἄλλῳ, δίελε καὶ μέρισον τὸ ὑποκείμενον, εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. ἐννόησον τὴν ἐσχάτην ὥραν. Τὸ ἐκείνῳ ἁμαρτηθὲν, ἐκεῖ καταλιπεῖν, ὅπου ἡ ἁμαρτία ὑπέστη. συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ποιοῦντα. Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ, καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. φίλησον τὸ ἀνθρώπινον γένος. ἀκολούθησον θεῷ. ἐκεῖνος μέν φησιν, ὅτι πάντα νομιστί. ἔτι εἰ δαίμονα τὰ στοιχεῖα. ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστὶ ἔχει, ἢ

δηλίαν ὀλίγα. Περὶ θανάτου, ἢ σκεδασμός, ἢ ἄτομοι, ἢ κένωσις, ἤτοι σβέσις, ἢ μετάστασις. Περὶ πόνου· τὸ μὲν ἀφόρητον, ἐξάγει· τὸ δὲ χρονίζον, φορητόν. καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ, καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονεν. Τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύνανται, περὶ αὐτοῦ ἀποφηνάσθω. Περὶ δόξης· ἴδε τὰς διανοίας αὐτῶν, οἷαι, καὶ οἷα μὲν φεύγουσαι. οἷα δὲ διώκουσαι. καὶ ὅτι ὡς αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰ πρότερα· οὕτως ἐν τῷ βίῳ, τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη. Πλατωνικόν. ᾧ οὖν ὑπάρχει διάνοια μεγαλοπρεπής, καὶ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα οἴει τούτῳ μέγα τι δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; ἀδύνατον, ἦ δ' ὅς. οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος; ἥκιστά γε. Ἀντισθενικόν. Βασιλικὸν μὲν εὖ πράττειν, κακῶς δὲ ἀκούειν. αἰσχρόν ἐστι τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι, καὶ κατακοσμεῖσθαι ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ' ὑφ' ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.

Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν.
Ἀθανάτοις τε θεοῖς, καὶ ἡμῖν χάρματα δοίης·
Βίον θερίζειν ὥστε κάρπιμον στάχυν.
Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.

Εἰ δ'

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ.
Ἔχει λόγον καὶ τοῦτο.

Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον. μὴ συνεπιθρηνεῖν. μὴ σφύζειν.

ΠΛΑΤΩΝΙΚΑ.

Ἐγὼ δὲ τούτῳ δίκαιον ἂν λόγον ἀντείποιμι. ὅτι οὐ καλῶς λέγεις ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν, ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελος. ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. Οὕτω γὰρ ἔχει ὦ ἄνδρες Ἀθηναῖοι τῇ ἀληθείᾳ, οὗ ἄν τις αὑτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ ὡς ἐμοὶ δοκεῖ μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ. Ἀλλ' ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον, καὶ τὸ ἀγαθὸν, ἢ τὸ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μὲν τὸ ζῆν ὁποσονδὴ χρόνον τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστί. καὶ οὐ φιλοψυχητέον, ἀλλ' ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ, καὶ πιστεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱμαρμένην οὐδεὶς ἂν ἐκφύγοι. Τὸ ἐπὶ τούτῳ σκεπτέον, τίνα ἂν τρόπον τοῦτον ὃν μέλλει χρόνον βιῶναι ὡς ἄριστα βιῴη. Περισκοπεῖν ἄστρων δρόμους, ὥσπερ συμπεριθέοντα·

καὶ

καὶ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. ἀποκαθαίρουσι γὰρ αἱ τούτων φαντασίαι τὸν ῥύπον τοῦ χαμαὶ βίου. Καλὸν τὸ τοῦ Πλάτωνος· καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον, ἐπισκοπεῖν δεῖ καὶ τὰ ἐπίγεια, ὥσπερ ποθὲν ἄνωθεν κατ' ἀγέλας, στρατεύματα, γεώργια, γάμους, διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας βαρβάρων ἔθνη ποικίλα, ἑορτάς, θρήνους, ἀγοράς, τὸ παμμιγὲς καὶ τὸ ἐκ τῶν ἐναντίων συγκοσμούμενον. τὰ προγεγονότα ἀναθεωρεῖν τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. ἔξεστι καὶ τὰ ἐσόμενα προεφορᾶν. ὁμοειδῆ γὰρ πάντως ἔσται, καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων. ὅθεν καὶ ἴσον, τὸ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὸν ἀνθρώπινον βίον, τῷ ἔτη μύρια. τί γὰρ πλέον ὄψῃ; καὶ τὰ ἐκ γῆς μὲν φύντα, εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς, εἰς αἰθέριον πάλιν ἦλθε πόλον. ἢ τοῦτο διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν, καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

Καὶ σίτοισι καὶ ποτοῖς, καὶ μαγγανεύμασι
Παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν.
Θεόθεν δὲ πνέοντ' οὖρον
Ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις.

Οὐκ ἔστιν ἀρχὴ τοῦτο, ἀλλ' ὁ ἀνωτέρω τῶν πρὸ

τῶν

τῶν Πλατωνικῶν συναφές. Καββαλιώτερος, ἀλλ'
οὐχὶ κοινωνικώτερος, οὐδὲ αἰδημονέστερος. οὐδ' εὐτα-
κτότερος ἐπὶ τοῖς συμβαίνουσιν, οὐ δὲ εὐμενέστερος
πρὸς τὰ τῶν πλησίον παροράματα. Ὅπου ἔργον ἐ-
πιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις
λόγον ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν
ἔξεστι, διὰ τῆς εὐοδούσης, καὶ κατὰ τὴν κατασκευὴν προ-
ϊούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέ-
ον. πανταχοῦ καὶ διηνεκῶς ἐπὶ σοί ἐστι ἐν τῇ παρούσῃ
συμβάσει θεοσεβῶς εὐαρεστεῖν, καὶ τοῖς παροῦσιν ἀν-
θρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι ἐν τῇ οὔ-
σῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μήτι ἀκατάλη-
πτον παρεισρυῇ. Μὴ περιβλέπου ἀλλότρια ἡγεμο-
νικά· ἀλλ' ἐκεῖ βλέπε κατ' εὐθύ, ἐπὶ τί σε ἡ φύσις
ὁδηγεῖ, ἥτε τοῦ ὅλου διὰ τῶν συμβαινόντων σοι, καὶ
ἡ σὴ διὰ τῶν πρακτέων ὑπὸ σοῦ. πρακτέον δὲ ἑκά-
στῳ τὸ ἑξῆς τῇ κατασκευῇ. κατεσκεύασται δὲ τὰ μὲν
λοιπὰ, τῶν λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς
ἄλλου, τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ λογι-
κὰ ἀλλήλων ἕνεκεν. Τὸ μὲν οὖν προηγούμενον ἐν
τῇ τοῦ ἀνθρώπου κατασκευῇ τὸ κοινωνικόν ἐστι. δεύ-
τερον δὲ τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πεί-
σεις. λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον περιο-
ρίζειν ἑαυτὴν, καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθη-
τικῆς μήτε ὁρμητικῆς κινήσεως· ζωώδεις γὰρ ἑκά-
τεραι. ἡ δὲ νοερὰ ἐθέλει πρωτιστεύειν, καὶ μὴ

κατακρατεῖσθαι ὑπ᾿ ἐκείνων δικαίως γε. πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον. τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθεῖα περαινέτω, καὶ ἔχει τὰ ἑαυτοῦ. Ὡς ἀποτεθνηκότα δεῖ καὶ μέχρι νῦν βεβιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος ζῆσαι κατὰ τὴν φύσιν, μόνον φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον. τί γὰρ ἁρμοδιώτερον; Ἐφ᾿ ἑκάστου συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν. ἔπειτα ἤχθοντο, ἐξενίζοντο, ἐμέμφοντο. νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ. Τί οὖν ὦ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι. χρήσῃ γὰρ καλῶς, καὶ ὕλη σου ἔσται, μόνον πρόσεχε καὶ θέλε σεαυτῷ καλὸς εἶναι, ἐπὶ παντὸς οὗ πράσσεις, καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ᾿ οὗ ἡ πρᾶξις. Ἔνδον βλέπε, ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς. Δεῖ καὶ τὸ σῶμα πεπηγέναι, καὶ μὴ διεῤῥίφθαι, μήτε ἐν κινήσει, μήτε ἐν σχέσει. οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια, συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον, πάντα δὲ ταῦτα σὺν τῷ

ἀνεπι

ἀνεπιτηδεύτῳ φυλακτικά. Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα ἤπερ τῇ ὀρχηστικῇ. κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἀπτῶς ἑστάναι. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, ἐμβλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν. Πᾶσα ψυχὴ ἄκουσα (φησιν) στέρεται ἀληθείας. οὕτως οὖν καὶ δικαιοσύνης καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντὸς τοῦ τοιούτου. ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος. ἐπὶ μὲν παντὸς πόνου, πρόχειρον ἔστω ὅτι οὐκ αἰσχρὸν, οὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ. οὔτε γὰρ καθὸ ὑλική ἐστιν, οὔτε καθὸ κοινωνική διαφθείρει αὐτήν. ἐπὶ μέντοι τῶν πλείστων πόνων, καὶ τὸ τοῦ Ἐπικούρου σοι βοηθείτω, ὅτι οὔτε ἀφόρητον οὔτε αἰώνιον, ἐὰν τῶν ὅρων μνημονεύῃς, καὶ μὴ προσδοξάζῃς. κἀκείνου δὲ μέμνησο ὅτι πολλὰ πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυσχεραινόμενα. οἷον τὸ νυστάζειν, καὶ τὸ καυματίζεσθαι, καὶ τὸ ἀνορεκτεῖν. ὅταν οὖν τινι τούτων δυσαρεστῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως. Ὅρα μήποτε τοιοῦτον πάθῃς πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ἄνθρω-

ποι πρὸς τοὺς ἀνθρώπους. Πόθεν ἴσμεν εἰ Τηλαύ-
γης Σωκράτης, καὶ διάθεσιν κρείσσων ἦν. οὐ
γὰρ ἀρκεῖ εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανεν,
καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ
καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ
τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γενναιότε-
ρον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν τοῖς ὁδοῖς ἐβρενθύε-
το· περὶ οὗ καὶ μάλιστ' ἄν τις ἐπιστήσειεν εἴπερ
ἀληθὲς ἦν. ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ
τὴν ψυχὴν εἶχε Σωκράτης. καὶ εἰ ἐδύνατο ἀρ-
κεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅ-
σιος τὰ πρὸς θεοὺς, μήτε εἰκῇ πρὸς τὴν κακίαν
ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μή-
τε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δε-
χόμενος ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ
σαρκιδίου πάθεσιν ἐμπλέκων συμπαθῆ τὸν
νοῦν. Ἡ φύσις οὐχ οὕτως συνεκέρασε τῷ συγ-
κρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτὸν, καὶ
τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι. λίαν γὰρ ἐνδέ-
χεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς
γνωσθῆναι. τούτου μέμνησο ἀεὶ, καὶ ἔτι ἐκεί-
νου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶ-
σαι. καὶ μὴ ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυ-
σικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς καὶ ἐλεύθερος, καὶ
αἰδήμων, καὶ κοινωνικὸς, καὶ εὐπειθὴς θεῷ. Ἀ-
βιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάν-

τοὺς καταβιῶσιν ἅτινα βούλονται, κἂν τὰ θηρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου τούτου φυράματος. τί γὰρ κωλύει ἐν πᾶσι τούτοις τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει τῇ περὶ τῶν περιεστηκότων ἀληθεῖ, καὶ χρήσει τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρίσιν λέγειν τῷ προσπίπτοντι, σὺ τοῦτο ὑπάρχεις κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φαίνῃ. τὴν δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι, σὲ ἐζήτουν. ἀεὶ γάρ μοι τὸ παρὸν, ὕλη ἀρετῆς λογικῆς καὶ πολιτικῆς. καὶ τὸ σύνολον τέχνης ἀνθρώπου ἢ θεοῦ. πᾶν γὰρ τὸ συμβαῖνον, θεῷ ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώριμον καὶ εὐεργές. Τοῦτο ἔχει ἡ τελειότης τοῦ ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξάγειν, καὶ μήτε σφύζειν, μήτε ναρκᾷν, μήτε ὑποκρίνεσθαι. Οἱ θεοὶ ἀθάνατοι ὄντες, οὐ δυσχεραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύλων ἀνέχεσθαι. προσέτι δὲ καὶ κήδονται αὐτῶν παντοίως. σὺ δὲ ὅσον οὐδέπω λήγειν μέλλων ἀπαυδᾷς, καὶ ταῦτα εἷς ὢν τῶν φαύλων. Γελοῖόν ἐστι τὴν μὲν ἰδίαν κακίαν μὴ φεύγειν, ὃ καὶ δυνατόν ἐστι· τὴν δὲ τῶν ἄλλων φεύγειν, ὅπερ ἀδύνατον. Ὃ ἂν ἡ λογικὴ καὶ πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν, μήτε

κοινονικὸν, εὐλόγως κατὰ δεύτερον ἑαυτῆς κεῖναι. Ὅταν σὺ εὖ πεποιηκὼς ᾖς, καὶ ἄλλος εὖ πεπονθὼς, τί ἔτι ζητεῖς τρίτον παρὰ ταῦτα ὥσπερ οἱ μωροί τὸ καὶ δόξαι εὖ πεποιηκέναι, ἢ τὸ ἀμοιβῆς τυχεῖν. Οὐδεὶς κάμνει ὠφελούμενος, ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν. μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς. Ἡ τοῦ ὅλου φύσις ἐπὶ τὴν κοσμοποιΐαν ὥρμησεν. νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ' ἐπακολούθησιν γίνεται, ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν, ἐφ' ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. εἰς πολλά σε γαληνότερον ποιήσει, τοῦτο μνημονευόμενον.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙνου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον η.

ΚΑΙ τοῦτο πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκ ἔτι δύνασαι τὸν βίον ὅλον, ἢ τόν γε ἀπὸ νεότητος φιλόσοφον βεβιωκέναι· ἀλλὰ πολλοῖς τε ἄλλοις, καὶ αὐτὸς σεαυτῷ δῆλος γέγονας, πόῤῥω φιλοσοφίας ὤν. πέφυρσαι οὖν, ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φι-

λοσόφου

λοσόφου κτήσασθαι, οὐκέτι σοι ῥᾴδιον. ἀνταγωνίζεται δὲ καὶ ἡ ὑπόθεσις. εἴπερ οὖν ἀληθῶς ἑώρακας ποῦ κεῖται τὸ πρᾶγμα, τὸ μὲν τί δόξεις, ἄφες· ἀρκέσθητι δὲ, εἰ κἂν τὸ λοιπὸν τοῦ βίου ὅσον δήποτε ἡ σὴ φύσις θέλει βιώσειν. κατανόησον οὖν τί θέλει, καὶ ἄλλο μηδέν σε περισπάτω. πεπείρασαι γὰρ περὶ πόσα πλανηθεὶς, οὐδαμοῦ εὗρες τὸ εὖ ζῆν. οὐκ ἐν συλλογισμοῖς, οὐκ ἐν πλούτῳ, οὐκ ἐν δόξῃ, οὐκ ἐν ἀπολαύσει, οὐδαμοῦ· ποῦ οὖν ἐστιν; ἐν τῷ ποιεῖν, ἃ ἐπιζητεῖ ἡ τοῦ ἀνθρώπου φύσις. πῶς οὖν ταῦτα ποιήσει; ἐὰν δόγματα ἔχῃ ἀφ' ὧν αἱ ὁρμαὶ καὶ αἱ πράξεις. τίνα δόγματα; τὰ περὶ ἀγαθῶν καὶ κακῶν. ὡς οὐδενὸς μὲν ἀγαθοῦ ὄντος ἀνθρώπῳ, ὃ οὐχὶ ποιεῖ δίκαιον, σώφρονα, ἀνδρεῖον, ἐλεύθερον, οὐδενὸς δὲ κακοῦ ὃ οὐχὶ ποιεῖ τἀναντία τοῖς εἰρημένοις. Καθ' ἑκάστην πρᾶξιν ἐρώτα σεαυτὸν, πῶς μοι αὕτη ἔχει, μὴ μετανοήσω ἐπ' αὐτῇ, μικρὸν καὶ τέθνηκα, καὶ πάντ' ἐκ μέσου. τί πλέον ἐπιζητῶ, εἰ τὸ παρὸν ἔργον ζώου νοεροῦ καὶ κοινωνικοῦ καὶ ἰσονόμου θεῷ. Ἀλέξανδρος δὲ καὶ Γάϊος, καὶ Πομπήϊος τί πρὸς Διογένην, καὶ Ἡράκλειτον, καὶ Σωκράτην; οἱ μὲν γὰρ εἶδον τὰ πράγματα, καὶ τὰς αἰτίας, καὶ τὰς ὕλας, καὶ τὰ ἡγεμονικὰ ἦν αὐτῶν ταὐτά. ἐκεῖ δὲ ὅσων πρόνοια, καὶ

δουλεία πόσων, ὅτι οὐδὲν ἧττον τὰ αὐτὰ ποιήσουσι, κἂν σὺ διαῤῥαγῇς. Τὸ πρῶτον μὴ ταράσσου. πάντα γὰρ κατὰ τὴν τοῦ ὅλου φύσιν, καὶ ὀλίγου χρόνου, οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὥσπερ οὐδὲ Ἀδριανός, οὐδὲ Αὔγουστος. ἔπειτα ἀτενίσας ἐς τὸ πρᾶγμα, ἴδε αὐτό, καὶ συμμνημονεύσας, ὅτι ἀγαθόν σε ἄνθρωπον εἶναι δεῖ, καὶ τί τοῦ ἀνθρώπου ἡ φύσις ἀπαιτεῖ, πρᾶξον τοῦτο ἀμεταστρεπτί, καὶ εἰπὲ ὡς δικαιότατον φαίνεταί σοι, μόνον εὐμενῶς, καὶ αἰδημόνως, καὶ ἀνυποκρίτως.

Ἡ τῶν ὅλων φύσις τοῦτο ἔργον ἔχει, τὰ ὧδε ὄντα ἐκεῖ μετατιθέναι, μεταβάλλειν, αἴρειν ἔνθεν καὶ ἐκεῖ φέρειν. πάντα τροπαί, οὐχ ὥστε φοβηθῆναι, μή τι καινόν. πάντα συνήθη. ἀλλὰ καὶ ἴσαι αἱ ἀπονεμήσεις. Ἀρκεῖται πᾶσα φύσις ἑαυτῇ εὐοδούσῃ. φύσις δὲ λογικὴ εὐοδεῖ, ἐν μὲν φαντασίαις, μήτε ψευδεῖ μήτε ἀδήλῳ συγκατατιθεμένη. τὰς ὁρμὰς δὲ ἐπὶ τὰ κοινωνικὰ ἔργα μόνα ἀπευθύνουσα, τὰς ὀρέξεις δὲ καὶ τὰς ἐκκλίσεις τῶν ἐφ' ἡμῖν μόνον πεποιημένη. τὸ δὲ ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμόμενον, πᾶν ἀσπαζομένη. μέρος γὰρ αὐτῆς ἐστιν. ὡς ἡ τοῦ φύλλου φύσις τῆς τοῦ φυτοῦ φύσεως. πλὴν ὅτι ἐκεῖ μὲν ἡ τοῦ φύλλου φύσις, μέρος ἐστὶ φύσεως καὶ ἀναισθήτου, καὶ ἀλόγου, καὶ ἐμποδίζεσθαι δυναμένης. ἡ δὲ τοῦ ἀνθρώπου φύσις, μέρος ἐστὶν ἀνεμποδίστου φύσεως

σεως

στως καὶ νοερᾶς καὶ δικαίας· εἴ γε ἴσους καὶ κατ' ἀξίαν τοὺς μερισμοὺς χρόνων, οὐσίας, αἰτίου, ἐνεργείας, συμβάσεως, ἑκάστοις ποιεῖται. σκόπει δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντός. ἀλλὰ εἰ συλλήβδην τὰ πάντα. τοῦ δὲ πρὸς ἀθρόα τὰ τοῦ ἑτέρου ἀναγινώσκειν οὐκ ἔξεστιν· ἀλλὰ ὕβριν ἀνείργειν ἔξεστιν, ἀλλὰ ἡδονῶν καὶ πόνων καθυπερτερεῖν ἔξεστιν· ἀλλὰ τοῦ δοξαρίου ὑπεράνω εἶναι ἔξεστιν· ἀλλὰ ἀναισθήτοις καὶ ἀχαρίστοις μὴ θυμοῦσθαι, προσέτι κήδεσθαι αὐτῶν ἔξεστιν. μηκέτι σου μηδεὶς ἀκούσῃ καταμεμφομένου τὸν ἐν αὐλῇ βίον. μηδὲ τὸν σεαυτοῦ. Ἡ μετάνοια ἐστὶν ἐπίληψίς τις ἑαυτοῦ, ὡς χρήσιμόν τι παρεικότος. τὸ δὲ ἀγαθὸν χρήσιμόν τι δεῖ εἶναι, καὶ ἐπιμελητέον αὐτοῦ τῷ ἀγαθῷ καὶ καλῷ ἀνδρί. οὐδεὶς δ' ἂν καλὸς καὶ ἀγαθὸς ἀνὴρ μετανοήσειεν, ἐπὶ τῷ ἡδονήν τινα παρεικέναι. οὔτε ἄρα χρήσιμον, οὔτε ἀγαθὸν ἡδονή. τοῦτο τί ἐστιν αὐτὸ καθ' ἑαυτὸ τῇ ἰδίᾳ κατασκευῇ, τί μὲν τὸ οὐσιῶδες αὐτοῦ καὶ ὑλικὸν· τί δὲ τὸ αἰτιῶδες, τί δὲ ποιεῖ ἐν τῷ κόσμῳ· πόσον δὲ χρόνον ὑφίσταται. Ὅταν ἐξ ὕπνου δυσχερῶς ἐγείρῃ, ἀναμιμνήσκου, ὅτι κατὰ τὴν κατασκευήν σου ἐστὶ, καὶ κατὰ τὴν ἀνθρωπικὴν φύσιν, τὸ πράξεις κοινωνικὰς ἀποδιδόναι. τὸ δὲ καθεύδειν, κοινὸν καὶ τῶν ἀλόγων ζώων. ὃ δὲ κατὰ φύσιν ἑκάστῳ, τοῦτο

οἰκειότερον καὶ προσφυέστερον, καὶ δὴ καὶ προσηνέστερον· διηνεκῶς καὶ ἐπὶ πάσης εἰ οἷόν τε φαντασίας. φυσιολογεῖν, παθολογεῖν, διαλεκτικεύεσθαι ᾧ ἂν ἐντυγχάνῃς εὐθὺς σαυτῷ πρόλεγε. οὗτος, τίνα δόγματα ἔχει περὶ ἀγαθῶν καὶ κακῶν; ἢ εἰ περὶ ἡδονῆς καὶ πόνου καὶ τῶν ποιητικῶν ἑκατέρου, καὶ περὶ δόξης, ἀδοξίας, θανάτου, ζωῆς. τοιάδε τινὰ δόγματα ἔχειν οὐδὲν θαυμαστὸν ἢ ξένον μοι δόξει, ἐὰν τάδε τινὰ ποιῇ. καὶ μεμνήσομαι, ὅτι ἀναγκάζεται οὕτως ποιεῖν. Μέμνησο ὅτι ὥσπερ αἰσχρὸν ξενίζεσθαι, εἰ ἡ συκῆ σῦκα φέρει, οὕτως εἰ ὁ κόσμος τάδε τινὰ φέρει, ὧν ἐστι φορός. καὶ ἰατρῷ δὲ καὶ κυβερνήτῃ, αἰσχρὸν ξενίζεσθαι εἰ πεπύρεχεν οὗτος, ἢ εἰ ἀντίπνοια γέγονεν. Μέμνησο ὅτι καὶ τὸ μετατίθεσθαι καὶ ἕπεσθαι τῷ διορθοῦντι, ὁμοίως ἐλεύθερόν ἐστι. σὴ γὰρ ἐνέργεια κατὰ τὴν σὴν ὁρμὴν καὶ κρίσιν, καὶ δὴ καὶ κατὰ νοῦν τὸν σὸν περαινομένη· εἰ μὲν ἐπὶ σοὶ, τί αὐτὸ ποιεῖς, εἰ δὲ ἐπ' ἄλλῳ, τίνι μέμφῃ; τοῖς ἀτόμοις, ἢ τοῖς θεοῖς, ἀμφότερα μανιώδη· οὐδενὶ μεμπτέον. εἰ μὲν γὰρ δύνασαι, διόρθωσον τόδε πρᾶγμα αὐτό· εἰ δὲ τοῦτο μὴ δύνασαι, πρὸς τί ἔτι σοι φέρει τὸ μέμψασθαι; εἰκῆ γὰρ οὐδὲν ποιητέον. Ἔξω τοῦ κόσμου τὸ ἀποθανὸν οὐ πίπτει. εἰ ὧδε μένει καὶ μεταβάλλει, ὧδε καὶ διαλύεται εἰς τὰ ἴδια, ἃ στοιχεῖά ἐστι τοῦ κόσμου καὶ σά.

καὶ αὐ

καὶ αὐτὰ δὲ μεταβάλλει, καὶ οὐ γογγύζει. ἕκαστον πρός τι γέγονεν, ἵππος, ἄμπελος, τί θαυμάζεις; καὶ ὁ ἥλιος ἐρεῖ πρός τι ἔργον γέγονα, καὶ οἱ λοιποὶ θεοί. σὺ οὖν πρὸς τί; τὸ ἥδεσθαι; ἴδε εἰ ἀνέχεται ἡ ἔννοια. ἡ φύσις ἐστόχασται ἑκάστου. οὐδὲν ἧττον τῆς ἀπολήξεως, ἢ τῆς ἀρχῆς τε καὶ διεξαγωγῆς. ὡς ὁ ἀναβάλλων τὴν σφαῖραν. τί οὖν ἀγαθὸν τῷ σφαιρίῳ ἀναφερομένῳ, ἢ κακὸν καταφερομένῳ, ἢ καὶ πεπτωκότι; τί δὲ ἀγαθὸν τῇ πομφόλυγι συνεστώσῃ, ἢ κακὸν διαλυθείσῃ; τὰ ὅμοια δὲ καὶ ἐπὶ λύχνου. ἐκστρεψον, καὶ θέασαι οἷόν ἐστι, γηράσαν δὲ οἷον γίνεται, νοσῆσαν δὲ, πορνεῦσαν, βραχύβιον δὲ, καὶ ὁ ἐπαινῶν, καὶ ὁ ἐπαινούμενος, καὶ ὁ μνημονεύων, καὶ ὁ μνημονευόμενος. πρὸσέτι δὲ καὶ ἐν γωνίᾳ τούτου τοῦ κλίματος, καὶ οὐδὲ ἐνταῦθα πάντες συμφωνοῦσι, καὶ οὐδὲ αὐτός τις ἑαυτῷ, καὶ ὅλη δὲ ἡ γῆ στιγμή. πρόσεχε τῷ ὑποκειμένῳ, ἢ τῷ δόγματι, ἢ τῇ ἐνεργείᾳ, ἢ τῷ σημαινομένῳ. δικαίως ταῦτα πάσχεις. μᾶλλον δὲ θέλεις ἀγαθὸς αὔριον γενέσθαι, ἢ σήμερον εἶναι. πράσσω τί; πράσσω ἐπ' ἀνθρώπων εὐποιίαν ἀναφέρων. συμβαίνει τί μοι, δέχομαι, ἐπὶ τοὺς θεοὺς ἀναφέρων, καὶ τὴν πάντων πηγὴν, ἀφ' ἧς πάντα τὰ γινόμενα συμμηρύεται. ὁποῖον σοι φαίνεται τὸ λούεσθαι; ἔλαιον, ἱδρώς, ῥύπος,

ὕδωρ,

ὕδωρ, γλοιῶδες, πάντα σικχαντά. τοιοῦτον πᾶν μέρος τοῦ βίου, καὶ πᾶν ὑποκείμενον. Λούκιλλα Οὐῆρον, εἶτα Λούκιλλα Σεκοῦνδα. Μάξιμον, εἶτα Σεκοῦνδα, Ἐπιτύγχανος Διότιμον, εἶτα Ἐπιτύγχανος Φαυστίναν, Ἀντωνῖνος· εἶτα Ἀντωνῖνος τοιαῦτα πάντα. Κέλερ, Ἀδριανόν· εἶτα Κέλερ. οἱ δὲ δριμεῖς ἐκεῖνοι, ἢ προγνωστικοὶ, ἢ τετυφωμένοι, ποῦ; οἷον δριμεῖς μὲν, Χάραξ καὶ Δημήτριος ὁ Πλατωνικὸς, ὁ Εὐδαίμων, καὶ εἴ τις τοιοῦτος. πάντα ἐφήμερα, τεθνηκότα πάλαι, ἔνιοι μὲν οὐδὲ ἐπ' ὀλίγον μνημονευθέντες· οἱ δὲ εἰς μύθους μεταβαλόντες· οἱ δὲ ἤδη καὶ ἐκ μύθων ἐξίτηλοι. τούτων οὖν μεμνῆσθαι ὅτι δεήσει ἤτοι σκεδασθῆναι τὸ συγκριμάτιόν σου, ἢ σβεσθῆναι τὸ πνευμάτιον, ἢ μεταστῆναι, καὶ ἀλλαχοῦ καταταχθῆναι. εὐφροσύνη ἀνθρώπου, ποιεῖν τὰ ἴδια ἀνθρώπου. ἴδιον δὲ ἀνθρώπου εὔνοια πρὸς τὸ ὁμόφυλον, ὑπερόρασις τῶν αἰσθητικῶν κινήσεων, διάκρισις τῶν πιθανῶν φαντασιῶν, ἐπιθεώρησις τῆς τῶν ὅλων φύσεως, καὶ τῶν κατ' αὐτὴν γινομένων. τρεῖς σχέσεις. ἡ μὲν πρὸς τὸ αἴτιον τὸ περικείμενον. ἡ δὲ πρὸς τὴν θείαν αἰτίαν, ἀφ' ἧς συμβαίνει πᾶσιν πάντα. ἡ δὲ πρὸς τοὺς συμβιοῦντας. ὁ πόνος ἤτοι τῷ σώματι κακὸν, οὐκοῦν ἀποφαινέσθω ἢ τῇ ψυχῇ. ἀλλ' ἔξεστιν αὐτῇ τὴν ἰδίαν αἰθρίαν καὶ γαλήνην διαφυλάσσειν, καὶ μὴ

ὑπο-

ἀπολαμβάνειν ὅ τι κοινόν. πᾶσα δὲ κρίσις, καὶ ὁρμὴ, καὶ ὄρεξις, καὶ ἔκκλισις, ἔνδον, καὶ οὐδὲν κακὸν ὧδε ἀναβαίνει. ἐξάλειφε τὰς φαντασίας, συνεχῶς σεαυτῷ λέγων· νῦν ἐπ' ἐμοί ἐστιν, ἵνα ἐν ταύτῃ τῇ ψυχῇ μηδεμία πονηρία ᾖ, μηδὲ ἐπιθυμία, μηδὲ ὅλως ταραχή τις· ἀλλὰ βλέπων πάντα ὁποῖά ἐστιν, χρῶμαι ἑκάστῳ κατ' ἀξίαν μέμνησο ταύτης τῆς ἐξουσίας, κατὰ φύσιν λαλεῖν, καὶ ἐν συγκλήτῳ, καὶ πρὸς πάνθ' ὁντινοῦν κοσμίως. μὴ περιττῶς ὑγιεῖ λόγῳ χρῆσθαι. Αὐλὴ Αὐγούστου, γυνὴ, θυγάτηρ, ἔγγονοι, πρόγονοι, ἀδελφὴ, Ἀγρίππας, συγγενεῖς, οἰκεῖοι, φίλοι, Ἄρειος, Μαικήνας, ἰατροὶ, θύται, ὅλης αὐλῆς θάνατος, εἶτα ἔπιθι τὰς ἄλλας, μὴ καθ' ἑνὸς ἀνθρώπου θάνατον· οἷον Πομπηΐων. κἀκεῖνο δὲ τὸ ἐπιγραφόμενον τοῖς μνήμασιν, ἔσχατος τοῦ ἰδίου γένους ἐπιλογίζεσθαι. πόσα ἐσπαδάθησαν οἱ πρὸ αὐτῶν ἵνα διάδοχόν τινα καταλίπωσιν. εἶτα, ἀνάγκη ἔσχατόν τινα γενέσθαι. πάλιν ὧδε ὅλου γένους θάνατον. συντιθέναι δεῖ τὸν βίον, κατὰ μίαν πρᾶξιν. καὶ εἰ ἑκάστη τὸ ἑαυτῆς παρέχει ὡς οἷόν τε ἀρκεῖσθαι. ἵνα δὲ τὸ ἑαυτῆς ἀπέχῃ, οὐδὲ εἷς σε κωλῦσαι δύναται. ἀλλὰ στήσεταί τι ἔξωθεν; οὐδὲν, εἴς γε τὸ δικαίως καὶ σωφρόνως καὶ εὐλογίστως. ἄλλο δέ τι ἴσως ἐνεργητικὸν κωλυθήσεται; ἀλλὰ τῇ πρὸς αὐτὸ τὸ κώλυμα εὐαρεστήσει, καὶ τῇ ἐπὶ τὸ διδόμενον εὐγνώ-

εὐγνώμονι μεταβάσει εὐθὺς ἄλλη πρᾶξις ἀντικαθίσαται, ἐναρμόζουσα εἰς τὴν σύνθεσιν περὶ ἧς ὁ λόγος. ἀτύφως μὲν λαβεῖν, εὐλύτως δὲ ἀφεῖναι. Εἴ ποτε εἶδες χεῖρα ἀποκεκομμένην, ἢ πόδα ἢ κεφαλὴν ἀποτετμημένην χωρίς που ποτε ἀπὸ τοῦ λοιποῦ σώματος κειμένην, τοιοῦτον ἑαυτὸν ποιεῖ, ὅσον ἐφ' ἑαυτῷ ὁ μὴ θέλων τὸ συμβαῖνον, καὶ ἀποσχίζων ἑαυτόν· ἢ ὁ ἀκοινώνητόν τι πράσσων· ἀπέρριψαί που πότε ἀπὸ τῆς κατὰ φύσιν ἑνώσεως. ἐπεφύκεις γὰρ μέρος. νῦν σεαυτὸν ἀπέκοψας. ἀλλ' ὧδε κομψὸν ἐκεῖνο, ὅτι ἔξεστί σοι πάλιν ἑνῶσαι σεαυτόν, τοῦτο ἄλλῳ μέρει οὐδενὶ θεὸς ἐπέτρεψεν, χωρισθέντι, καὶ διακοπέντι, πάλιν συνελθεῖν. ἀλλὰ σκέψαι τὴν χρηστότητα, ᾗ τετίμηκε τὸν ἄνθρωπον. καὶ γὰρ ἵνα τὴν ἀρχὴν μὴ ἀπορραγῇ ἀπὸ τοῦ ὅλου, ἐπ' αὐτῷ ἐποίησε· καὶ ἀπορραγέντι πάλιν ἐπανελθεῖν καὶ συμφῦναι, καὶ τὴν τοῦ μέρους τάξιν ἀπολαβεῖν ἐποίησεν. ὥσπερ τὰς ἄλλας δυνάμεις ἕκαστος τῶν λογικῶν σχεδὸν ὅσον ἡ τῶν λογικῶν φύσις. οὕτως καὶ ταύτην παρ' αὐτῆς εἰλήφαμεν. ὃν τρόπον γὰρ ἐκείνη πᾶν τὸ ἐνιστάμενον καὶ ἀντιβαῖνον, ἐπιπεριτρέπει, καὶ κατατάσσει εἰς τὴν εἱμαρμένην, καὶ μέρος ἑαυτῆς ποιεῖ, οὕτως καὶ τὸ λογικὸν ζῷον δύναται πᾶν κώλυμα, ὕλην ἑαυτοῦ ποιεῖν, καὶ χρῆσθαι αὐτῷ ἐφ' οἷον ἂν καὶ ὥρμησε.

Μὴ

Μὴ σὲ συγχείτω ἡ τοῦ ὅλου βίου φαντασία.
μὴ συμπεριεινόει ἐπίπονα οἷα καὶ ὅσα πιθανὸν
ἐπιγεγενῆσθαι. ἀλλὰ καθ' ἕκαστον τῶν παρόντων,
ἐπερώτα σεαυτὸν, τί τοῦ ἔργου τὸ ἀφόρητον καὶ
ἀνύποιστον. αἰσχυνθήσῃ γὰρ ὁμολογῆσαι. Ἔπει-
τα ἀναμίμνησκε σεαυτὸν, ὅτι οὔτε τὸ μέλλον,
οὔτε τὸ παρῳχηκὸς βαρεῖ σε; ἀλλὰ ἀεὶ τὸ παρόν.
τοῦτο δὲ κατασμικρύνεται, ἐὰν αὐτὸ μόνον πε-
ριορίσῃς, καὶ ἀπελέγχῃς τὴν διάνοιαν, εἰ πρὸς
τοῦτο ψιλὸν ἀντέχειν μὴ δύναται. Μή τι νῦν πα-
ρακάθηται τῇ τοῦ κυρίου σορῷ, Πάνθεια, ἢ Πέρ-
γαμος, τί δὲ τῇ Ἀδριανοῦ, Χαυρίας καὶ Διό-
τιμος; γελοῖον. τί δὲ εἰ παρεκάθηντο, ἔμελλον
αἰσθάνεσθαι; τί δὲ εἰ ᾐσθάνοντο, ἔμελλον ἡσθήσε-
σθαι; τί δὲ εἰ ἥδοντο, ἔμελλον οὗτοι ἀθάνατοι εἶναι;
οὐ καὶ τούτους πρῶτον μὲν γραίας καὶ γέροντας
γενέσθαι οὕτως εἵμαρτο, εἶτα ἀποθανεῖν. τί
οὖν ὕστερον ἔμελλον ἐκεῖνοι ποιεῖν τούτων ἀποθα-
νόντων; γράσων πᾶν τοῦτο, καὶ λύθρον ἐν θυ-
λάκῳ. εἰ δύνασαι ὀξὺ βλέπειν, βλέπε κρί-
νων φησὶ σοφωτάτοις. δικαιοσύνης κατεξανα-
στατικὴν ἀρετὴν οὐχ ὁρῶ ἐν τῇ τοῦ λογικοῦ ζώου
κατασκευῇ. ἡδονῆς δὲ ὁρῶ, τὴν ἐγκράτειαν.
ἐὰν ἀφέλῃς τὴν σὴν ὑπόληψιν περὶ τοῦ λυ-
πεῖν σε δοκοῦντος, αὐτὸς ἐν τῷ ἀσφαλεστά-
τῳ ἕστηκας. τίς αὐτός; ὁ λόγος, ἀλλ' οὐκ εἰμὶ
λόγος.

λόγος· ἔστω. οὐκοῦν ὁ μὲν λόγος αὐτὸς ἑαυτὸν μὴ λυπείτω. εἰ δέ τι ἄλλο σοι κακῶς ἔχει, ὑπολαβέτω αὐτὸ περὶ αὐτοῦ. Ἐμποδισμὸς αἰσθήσεως, κακὸν ζωτικῆς φύσεως. ἐμποδισμὸς ὁρμῆς ὁμοίως κακὸν ζωτικῆς φύσεως. ἔστι δέ τι ἄλλο ὁμοίως ἐμποδιστικὸν καὶ κακὸν τῆς φυτικῆς κατασκευῆς. οὕτως τοίνυν ἐμποδισμὸς νοῦ, κακὸν νοερᾶς φύσεως. πάντα δὴ ταῦτα, ἐπὶ σεαυτὸν μετάφερε. πόνος, ἡδονὴ ἅπτεταί σου. ὄψεται ἡ αἴσθησις· ὁρμῇ ἐνστάντι ἔνστημα ἐγένετο; εἰ μὲν ἀνυπεξαιρέτως ὥρμας ἤδη ὡς λογικοῦ κακόν. εἰ δὲ τὸ κοινὸν λαμβάνεις, οὔπω βέβλαψαι, οὐδὲ ἐμπεπόδισαι. τὰ μέντοι τοῦ νοῦ ἴδια οὐδεὶς ἄλλος εἴωθεν ἐμποδίζειν. τούτου γὰρ, οὐ πῦρ, οὐ σίδηρος, οὐ τύραννος, οὐ βλασφημία, οὐχ ὁτιοῦν ἅπτεται· ὅταν γένηται σφαῖρος, κυκλοτερὴς μένει. Οὐκ εἰμὶ ἄξιος ἐμαυτὸν λυπεῖν, οὐδὲ γοῦν ἄλλον πώποτε ἑκὼν ἐλύπησα. εὐφραίνει ἄλλον, ἄλλο· ἐμὲ δὲ ἐὰν ὑγιὲς ἔχω τὸ ἡγεμονικὸν, μὴ ἀποστρεφόμενον, μήτε ἄνθρωπόν τινα, μήτε τῶν ἀνθρώποις συμβαινόντων· ἀλλὰ πᾶν εὐμενέσιν ὀφθαλμοῖς ὁρῶντα, καὶ δεχόμενον, καὶ χρώμενον ἑκάστῳ κατ' ἀξίαν. Τοῦτον ἰδοὺ τὸν χρόνον σεαυτῷ χάρισαι. Οἱ τὴν ὑστεροφημίαν μᾶλλον διώκοντες, οὐ λογίζονται, ὅτι ἄλλοι τοιοῦτοι μέλλουσιν ἐκεῖνοι εἶναι, οἷοί εἰσιν οὗτοι οὓς βαροῦνται. κἀκεῖνοι δὲ θνητοί. Τί δὲ ὅλως

πρὸς

πρὸς σὲ ἂν ἐκεῖνοι φωναῖς τοιαύταις ἀπηχῶσιν, ἢ ὑπόληψιν τοιαύτην περὶ σοῦ ἔχωσιν. Ἆρόν με καὶ βάλε ὅπου θέλεις. ἐκεῖ γὰρ ἕξω τὸν ἐμὸν δαίμονα ἵλεων, τουτέστιν ἀρκούμενον εἰ ἔχοι καὶ ἐνεργοίη κατὰ τὸ ἑξῆς τῇ ἰδίᾳ κατασκευῇ. ἆρα τοῦτο ἄξιον, ἵνα δι' αὐτὸ κακῶς μου ἔχῃ ἡ ψυχή, καὶ χείρων ἑαυτῆς ᾖ, ταπεινουμένη, ὀρεγομένη, συνδουμένη, πτυρομένη; καὶ τί εὑρήσεις τούτου ἄξιον; Ἀνθρώπῳ οὐδενὶ συμβαίνειν τι δύναται, ὃ οὐκ ἔστιν ἀνθρωπικὸν σύμπτωμα. οὐδὲ βοΐ, ὃ οὐκ ἔστι βοϊκόν. οὐδὲ ἀμπέλῳ, ὃ οὐκ ἔστιν ἀμπελικόν. οὐδὲ λίθῳ, ὃ οὐκ ἔστι λίθῳ ἴδιον. εἰ οὖν ἑκάστῳ συμβαίνει, ὃ καὶ εἴωθεν, καὶ πέφυκεν, τί ἂν δυσχεραίνοις; οὐ γὰρ ἀφόρητόν σοι ἔφερεν ἡ κοινὴ φύσις. εἰ μὲν διά τι τῶν ἐκτὸς λυπῇ, οὐκ ἐκεῖνό σοι ἐνοχλεῖ, ἀλλὰ τὸ σὸν περὶ αὐτοῦ κρίμα. τοῦτο δὲ ἤδη ἐξαλεῖψαι ἐπὶ σοί ἐστιν. εἰ δὲ λυπεῖ σέ τι τῶν ἐν τῇ σῇ διαθέσει, τίς ὁ κωλύων διορθῶσαι τὸ δόγμα; ὁμοίως δὲ καὶ εἰ λυπῇ, ὅτι οὐχὶ τὸ δέ τι ἐνεργεῖς ὑγιές σοι φαινόμενον, τί οὐχὶ μᾶλλον ἐνεργεῖς ἢ λυπῇ; ἀλλὰ ἰσχυρότερόν τι ἐνίσταται. μὴ οὖν λυποῦ. οὐ γὰρ παρὰ σὲ ἡ αἰτία τοῦ μὴ ἐνεργεῖσθαι. ἀλλὰ οὐκ ἄξιον ζῆν μὴ ἐνεργουμένου τούτου. ἄπιθι οὖν ἐκ τοῦ ζῆν εὐμενής, ᾗ καὶ ὁ ἐνεργῶν ἀποθνήσκει, ἅμα ἵλεως τοῖς ἐνισταμένοις. Μέμνησο ὅτι ἀκαταμάχητον γίνεται τὸ ἡγεμονικόν, ὅταν εἰς ἑαυτὸ

συστραφὲν ἀρκεσθῇ ἑαυτῷ, μὴ ποιοῦντι ὃ μὴ θέλει, κἂν ἀλόγως παρατάξηται. τί οὖν ὅταν καὶ μετὰ λόγου περιεσκεμμένως κρίνῃ περί τινος; διὰ τοῦτο ἀκρόπολίς ἐστιν ἡ ἐλευθέρα παθῶν διάνοια. οὐδὲν γὰρ ὀχυρώτερον ἔχει ἄνθρωπος, ἐφ' ὃ καταφυγὼν ἀνάλωτος λοιπὸν ἂν εἴη. ὁ μὲν οὖν μὴ ἑωρακὼς τοῦτο, ἀμαθής. ὁ δὲ ἑωρακὼς καὶ μὴ καταφεύγων, ἀτυχής. Μηδὲν πλέον σαυτῷ λέγε, ὧν αἱ προηγούμεναι φαντασίαι ἀναγγέλλουσιν. ἤγγελται ὅτι ὁ δεῖνά σε κακῶς λέγει. ἤγγελται τοῦτο· τὸ δὲ ὅτι βέβλαψαι, οὐκ ἤγγελται. βλέπω ὅτι νοσεῖ τὸ παιδίον. βλέπω. ὅτι δὲ κινδυνεύει, οὐ βλέπω. οὕτως οὖν μένε ἀεὶ ἐπὶ τῶν πρώτων φαντασιῶν, καὶ μηδὲν αὐτὸς ἔνδοθεν ἐπίλεγε, καὶ οὐδέν σοι γίνεται. μᾶλλον δὲ ἐπίλεγε ὡς γνωρίζων ἕκαστα τῶν ἐν τῷ κόσμῳ συμβαινόντων. σίκυος πικρὸς, ἄφες. βάτοι ἐν τῇ ὁδῷ, ἔκκλινον. ἀρκεῖ, μὴ προσεπείπῃς. τί δὲ καὶ ἐγένετο ταῦτα ἐν τῷ κόσμῳ. ἐπεὶ καταγελασθήσῃ ὑπὸ ἀνθρώπου φυσιολόγου, ὡς ἂν καὶ ὑπὸ τέκτονος καὶ σκυτέως γελασθείης, καταγινώσκων ὅτι ἐν τῷ ἐργαστηρίῳ ξέσματα καὶ περιτμήματα τῶν κατασκευαζομένων ὁρᾷς. καίτοι ἐκεῖνοί γε ἔχουσι ποῦ αὐτὰ ῥίψωσιν. ἡ δὲ τῶν ὅλων φύσις, ἔξω οὐδὲν ἔχει, ἀλλὰ τὸ

θαυμαστὸν τῆς τέχνης ταύτης ἐστὶν, ὅτι περιορίσασα ἑαυτὴν, πᾶν τὸ ἔνδον διαφθείρεσθαι καὶ γηράσκειν καὶ ἄχρηστον εἶναι δοκοῦν, εἰς ἑαυτὴν μεταβάλλει, καὶ ὅτι πάλιν ἄλλα νεαρὰ ἐκ τούτων αὐτῶν ποιεῖ· ἵνα μήτε οὐσίας ἔξωθεν χρήζῃ, μήτε ὅπου ἐκβάλλῃ τὰ σαπρότερα προσδέηται. ἀρκεῖται οὖν καὶ χώρᾳ τῇ ἑαυτῆς, καὶ ὕλῃ τῇ ἑαυτῆς, καὶ τέχνῃ τῇ ἰδίᾳ. Μήτε ἐν ταῖς πράξεσιν ἐπισύρειν, μήτε ἐν ταῖς ὁμιλίαις φύρειν· μήτε ἐν ταῖς φαντασίαις ἀλᾶσθαι· μήτε τῇ ψυχῇ καθάπαξ συνέλκεσθαι, ἢ ἐκθορνύσθαι, μήτε ἐν τῷ βίῳ ἀσχολεῖσθαι· κτείνουσι, κρεανομοῦσι, κατάραις ἐλαύνουσι. τί οὖν ταῦτα πρὸς τὸ τὴν διάνοιαν μένειν καθαρὰν, φρενήρη, σώφρονα, δικαίαν; οἷον εἴ τις παραστὰς πηγῇ διαυγεῖ, καὶ γλυκείᾳ, βλασφημοίη αὐτὴν, ἡ δὲ οὐ παύεται πότιμον ἀναβλύουσα. κἂν πηλὸν ἐμβάλλῃ κἂν κοπρίαν, τάχιστα διασκεδάσει αὐτὰ καὶ ἐκκλύσει, καὶ οὐδαμῶς βαφήσεται. πῶς οὖν πηγὴν ἀέναον ἕξεις, καὶ μὴ φρέαρ; φύου σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν, μετὰ τοῦ εὐμενῶς, καὶ ἁπλῶς, καὶ αἰδημόνως. Ὁ μὲν μὴ εἰδὼς ὅτι ἐστὶ κόσμος, οὐκ οἶδεν ὅπου ἐστίν. ὁ δὲ μὴ εἰδὼς πρὸς ὅ τι πέφυκεν, οὐκ οἶδεν ὅστις ἐστὶν, οὐδὲ τί ἐστι κόσμος. ὁ δὲ ἕν τι τούτων ἀπολιπὼν, οὐδὲ πρὸς ὅ, τι αὐτὸς πέφυκεν εἴποι. τίς οὖν φαίνεταί

σοι ὁ τὸν τῶν κροτούντων ἔπαινον φεύγων ἢ διώκων, ἢ οἵ οὐδ' ὅπου εἰσὶν, οὔτε οἵ τινές εἰσι γινώσκουσιν. Ἐπαινεῖσθαι θέλεις ὑπὸ ἀνθρώπου, τρὶς τῆς ὥρας ἑαυτοῦ καταρωμένου. ἀρέσκειν θέλεις ἀνθρώπῳ, ὃς οὐκ ἀρέσκει ἑαυτῷ; ἀρέσκει ἑαυτῷ ὁ μετανοῶν ἐφ' ἅπασι σχεδὸν οἷς πράσσει; Μηκέτι μόνον συμπνεῖν τῷ περιέχοντι ἀέρι, ἀλλὰ ἤδη καὶ συμφρονεῖν τῷ περιέχοντι πάντα νοερῷ. οὐ γὰρ ἧττον ἡ νοερὰ δύναμις πάντη κέχυται καὶ διαπεφοίτηκε σπάσαι δυναμένῳ, ἤπερ ἡ ἀερώδης τῷ ἀναπνεῦσαι δυναμένῳ. Γενικῶς μὲν ἡ κακία οὐδὲν βλάπτει τὸν κόσμον· ἡ δὲ κατὰ μέρος οὐδὲν βλάπτει τὸν ἕτερον. μόνῳ δὲ βλαβερά ἐστι τούτῳ, ᾧ ἐπιτέτραπται καὶ ἀπηλλάχθαι αὐτῆς, ὁπόταν πρῶτος οὗτος θελήσῃ. Τῷ ἐμῷ προαιρετικῷ τὸ τοῦ πλησίον προαιρετικὸν ἐπίσης ἀδιάφορόν ἐστιν, ὡς καὶ τὸ πνευμάτιον αὐτοῦ, καὶ τὸ σαρκίδιον. καὶ γὰρ εἰ ὅτι μάλιστα ἀλλήλων ἕνεκεν γεγόναμεν· ὅμως τὰ ἡγεμονικὰ ἡμῶν, ἕκαστον τὴν ἰδίαν κυρίαν ἔχει. ἐπεί τοι ἔμελλεν ἡ τοῦ πλησίον κακία ἐμοῦ κακὸν εἶναι, ὅπερ οὐκ ἔδοξε τῷ θεῷ, ἵνα μὴ ἐπ' ἄλλῳ ᾖ τὸ ἐμὲ ἀτυχεῖν. Ὁ ἥλιος κατακεχύσθαι δοκεῖ, καὶ πάντη γε κέχυται οὐ μὴν ἐκκέχυται. ἡ γὰρ χύσις αὕτη τάσις ἐστίν. ἀκτῖνες γοῦν αἱ αὐγαὶ αὐτοῦ, ἀπὸ τοῦ ἐκτείνεσθαι λέγονται. ὁποῖον δέ τι ἐστὶν ἀκτὶς, ἴδοις ἂν

εἰ διά-

ἢ διά τινος στενοῦ εἰς ἐσκιασμένον οἶκον τὸ ἀφ' ἡλίου φῶς εἰσδυόμενον θεάσασθαι. γίνεται γὰρ κατ' εὐθύ. καὶ ὥσπερ διαιρεῖται δὴ πρὸς τὸ στερέμνιον, ὅτι ἂν ἀπαντήσῃ διεῖργον τὸν ἐπέκεινα ἀέρα. ἐνταῦθα δὲ ἔστη, καὶ οὐ κατώλισθεν, οὐδὲ ἔπεσε. τοιαύτην οὖν τὴν χύσιν καὶ διάχυσιν τῆς διανοίας εἶναι χρή, μηδαμῶς ἔκχυσιν· ἀλλὰ τάσιν, καὶ πρὸς τὰ ἀπαντῶντα κωλύματα, μὴ βίαιον, μηδὲ ῥαγδαίαν τὴν ἐπέρεισιν ποιεῖσθαι. μηδὲ μὴν καταπίπτειν, ἀλλὰ ἵστασθαι, καὶ ἐπιλάμπειν τὸ δεχόμενον. αὐτὸ γὰρ ἑαυτὸ στερήσει τῆς αὐγῆς τὸ μὴ παραπέμπον αὐτήν. Ὁ τὸν θάνατον φοβούμενος, ἤτοι ἀναισθησίαν φοβεῖται, ἢ αἴσθησιν ἑτεροίαν. ἀλλ' εἴτε οὐκέτι αἴσθησιν, οὐδὲ κακοῦ τινος αἰσθήσῃ, εἴτε ἀλλοιοτέραν αἴσθησιν κτήσῃ, ἀλλοῖον ζῶον ἔσῃ, καὶ τοῦ ζῆν οὐ παύσῃ. οἱ ἄνθρωποι γεγόνασιν ἀλλήλων ἕνεκεν. δίδασκε οὖν, ἢ φέρε. ἄλλως βέλος, ἄλλως νοῦς φέρεται. μέντοι νοῦς καὶ ὅταν εὐλαβῆται καὶ ὅταν περὶ τὴν σκέψιν στρέφηται, φέρεται κατ' εὐθὺ οὐδὲν ἧττον, καὶ ἐπὶ τὸ προκείμενον εἰσιέναι εἰς τὸ ἡγεμονικὸν ἑκάστου. παρέχει δὲ καὶ ἑτέρῳ παντὶ εἰσιέναι εἰς τὸ ἑαυτοῦ ἡγεμονικόν.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον θ.

Ὁ ἀδικῶν, ἀσεβεῖ. τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευηκυίας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς, ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν. ἡ γὰρ τῶν ὅλων φύσις, ὄντων ἐστὶ φύσις. τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει. ἔτι δὲ καὶ ἀλήθεια αὕτη ὀνομάζεται καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστίν. ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δὲ ἄκων, καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει. μάχεται γὰρ ὁ ἐπὶ τἀναντία τοῖς ἀληθέσι φερόμενος παρ' ἑαυτόν. ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως, ὧν ἀμελήσας οὐχ οἷός τέ ἐστι νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν. καὶ μὴν ὁ τὰς ἡδονὰς ὡς ἀγαθὰς διώκων, τοὺς δὲ πόνους ὡς κακὰ φεύγων, ἀσεβεῖ. ἀνάγκη γὰρ τὸν τοιοῦτον, μέμφεσθαι

πολ-

πολλάκις τῇ κοινῇ φύσει, ὡς παρ' ἀξίαν τι ἀπονεμούσῃ τοῖς φαύλοις καὶ τοῖς σπουδαίοις. διὰ τὸ πολλάκις τοὺς μὲν φαύλους ἐν ἡδοναῖς εἶναι, καὶ τὰ ποιητικὰ τούτων κτᾶσθαι· τοὺς δὲ σπουδαίους, πόνῳ, καὶ τοῖς ποιητικοῖς τούτου περιπίπτειν. ἔτι δὲ ὁ φοβούμενος τοὺς πόνους, φοβηθήσεταί ποτε τῶν ἐσομένων τι ἐν τῷ κόσμῳ. τοῦτο δὲ ἤδη ἀσεβές. ὅ τε διώκων τὰς ἡδονὰς, οὐκ ἀφέξεται τοῦ ἀδικεῖν. τοῦτο δὲ ἐναργῶς ἀσεβές. χρὴ δὲ πρὸς ἃ ἡ κοινὴ φύσις ἐπίσης ἔχει (οὐ γὰρ ἀμφότερα ἐποίει, εἰ μὴ πρὸς ἀμφότερα ἐπίσης εἶχε) πρὸς ταῦτα καὶ τοὺς τῇ φύσει βουλομένους ἕπεσθαι, ὁμογνώμονας ὄντας ἐπίσης διακεῖσθαι. ὅστις οὖν πρὸς πόνους καὶ ἡδονὰς, ἢ θάνατον καὶ ζωὴν, ἢ δόξαν καὶ ἀδοξίαν, οἷς ἐπίσης ἡ τῶν ὅλων φύσις χρῆται, αὐτὸς οὐκ ἐπίσης ἔχει, δῆλον ὡς ἀσεβεῖ. λέγω δὲ τὸ χρῆσθαι τούτοις ἐπίσης τὴν κοινὴν φύσιν, ἀντὶ τοῦ κατὰ τὸ συμβαῖνον ἐπίσης κατὰ τὸ ἑξῆς γινομένοις, καὶ ἐπιγινομένοις ὁρμῇ τινι ἀρχαίᾳ τῆς προνοίας καθ' ἣν ἀπό τινος ἀρχῆς ὥρμησεν ἐπὶ τήνδε τὴν διακόσμησιν, συλλαβοῦσα τινὰς λόγους τῶν ἐσομένων, καὶ δυνάμεις γονίμους ἀφορίσασα, ὑποστάσεών τε, καὶ μεταβολῶν καὶ διαδοχῶν τοιούτων. Χαριέστερον μὲν ἦν ἄνδρας ἄγευστον ψευδολογίας, καὶ πάσης ὑπο-

κρίσεως καὶ τρυφῆς καὶ τύφου γενόμενον, ἐξ ἀνθρώπων ἀπελθεῖν. τὸ δ' οὖν κορεσθέντα γε τούτων ἀποπνεῦσαι, δεύτερος πλοῦς ἢ προῄρησαι προσκαθῆσθαι τῇ κακίᾳ· καὶ οὔπω σε οὐδὲ ἡ πεῖρα πείθει φεύγειν ἐκ τοῦ λοιμοῦ. λοιμὸς γὰρ διαφθορὰ διανοίας πολλῷ γε μᾶλλον ἤπερ ἡ τοῦ περικεχυμένου τούτου πνεύματος τοιάδε τις δυσκρασία καὶ τροπή. αὕτη μὲν γὰρ ζώων λοιμὸς καθὸ ζῷα· ἐστὶν ἐκείνη δὲ ἀνθρώπων καθὸ ἄνθρωποί εἰσιν. Μὴ καταφρόνει θανάτου, ἀλλὰ εὐαρέστει αὐτῷ, ὡς καὶ τούτου ἑνὸς ὄντος, ὧν ἡ φύσις ἐθέλει. οἷον γάρ ἐστι τὸ νεάσαι, καὶ τὸ γηράσαι καὶ τὸ αὐξῆσαι, καὶ τὸ ἀκμάσαι, καὶ ὀδόντας, καὶ γένειον, καὶ πολιὰς ἐνεγκεῖν, καὶ σπεῖραι, καὶ κυοφορῆσαι, καὶ ἀποκυῆσαι, καὶ τὰ ἄλλα τὰ φυσικὰ ἐνεργήματα, ὅσα αἱ τοῦ σοῦ βίου ὧραι φέρουσιν, τοιοῦτο καὶ τὸ διαλυθῆναι. τοῦτο μὲν οὖν κατὰ ἄνθρωπόν ἐστι λελογισμένον, μὴ ὁλοσχερῶς, μηδὲ ὠστικῶς, μηδὲ ὑπερηφάνως πρὸς τὸν θάνατον ἔχειν· ἀλλὰ περιμένειν ὡς μίαν τῶν φυσικῶν ἐνεργειῶν. ὡς νῦν περιμένεις, πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, οὕτως ἐκδέχεσθαι τὴν ὥραν ἐν ᾗ τὸ ψυχάριον σου τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται. εἰ δὲ καὶ ἰδιωτικὸν παράπηγμα ἁψικάρδιον θέλεις, μάλιστά σε εὔκολον πρὸς τὸν θάνατον ποιήσει, ἡ ἐπίστασις ἡ ἐπὶ τὰ ὑπο-

κείμενα,

κείμενα, ὧν μέλλεις ἀφίστασθαι. καὶ μεθ' οἵων ἠθῶν οὐκέτι ἔσται ἡ ἐμπεφυρμένη. προσκόπτεσθαι μὲν γὰρ αὐτοῖς ἥκιστα δεῖ, ἀλλὰ καὶ κήδεσθαι, καὶ πρᾴως φέρειν. μεμνῆσθαι μέντοι ὅτι οὐκ ἀπ' ἀνθρώπων ὁμοδογματούντων σοι ἡ ἀπαλλαγὴ ἔσται. τοῦτο γὰρ μόνον εἴπερ ἄρα ἀνθεῖλκεν ἂν καὶ κατεῖχεν ἐν τῷ ζῆν, εἰ συζῆν ἐφεῖτο τοῖς τὰ αὐτὰ δόγματα περιπεποιημένοις. νῦν δ' ὁρᾷς ὅσος ὁ κόπος ἐν τῇ διαφωνίᾳ τῆς συμβιώσεως, ὥστε εἰπεῖν, θᾶττον ἔλθοις ὦ θάνατε μή που καὶ αὐτὸς ἐπιλάθωμαι ἐμαυτοῦ.

Ὁ ἁμαρτάνων ἑαυτῷ ἁμαρτάνει. ὁ ἀδικῶν ἑαυτὸν κακοῖ, κακὸν ἑαυτὸν ποιῶν. ἀδικεῖ πολλάκις ὁ μὴ ποιῶν τι, οὐ μόνον ὁ ποιῶν τι. ἀρκεῖ ἡ παροῦσα ὑπόληψις καταληπτική, καὶ ἡ παροῦσα πρᾶξις κοινωνική· καὶ ἡ παροῦσα διάθεσις εὐαρεστικὴ πρὸς πᾶν τὸ παρὰ τὸ ἐκ τῆς αἰτίας συμβαῖνον, ἐξαλεῖψαι φαντασίαν, στῆσαι, ὁρμὴν, σβέσαι ὄρεξιν, ἐφ' ἑαυτῷ ἔχειν τὸ ἡγεμονικόν, εἰς μὲν τὰ ἄλογα ζῷα, μία ψυχὴ διῄρηται. εἰς δὲ τὰ λογικὰ μία νοερὰ ψυχὴ μεμέρισται. ὥσπερ καὶ μία γῆ ἐστὶν ἁπάντων τῶν γεωδῶν, καὶ ἑνὶ φωτὶ ὁρῶμεν. καὶ ἕνα ἀέρα ἀναπνέομεν, ὅσα ὁρατικὰ καὶ ἔμψυχα πάντα. Ὅσα κοινοῦ τινος μετέχει, πρὸς τὸ ὁμογενές σπεύδει. Τὸ γεῶδες πᾶν

ῥέπει ἐπὶ γῆν, τὸ ὑγρὸν πᾶν, σύῤῥουν; τὸ ἀερῶδες ὁμοίως, ὥστε χρῄζειν τῶν διειργόντων καὶ βίας. Τὸ πῦρ ἀνωφερὲς μὲν, διὰ τὸ στοιχειῶδες πῦρ. παντὶ δὲ πυρὶ ἐνταῦθα πρὸς τὸ συνεξάπτεσθαι ἕτοιμον. οὕτως, ὥστε καὶ πᾶν τὸ ὑλικὸν τὸ ὀλίγῳ ξηρότερον, εὐέξαπτον εἶναι, διὰ τὸ ἔλαττον ἐγκεκρᾶσθαι αὐτῷ τὸ κωλυτικὸν πρὸς ἔξαψιν. καὶ τοίνυν πᾶν τὸ κοινῆς νοερᾶς φύσεως μέτοχον, πρὸς τὸ συγγενὲς ὁμοίως σπεύδει, ἢ καὶ μᾶλλον. ὅσῳ γάρ ἐστι κρεῖττον παρὰ τὰ ἄλλα, τοσούτῳ καὶ πρὸς τὸ συγκιρνᾶσθαι τῷ οἰκείῳ καὶ συγχεῖσθαι ἑτοιμότερον. εὐθὺς γοῦν ἐπὶ μὲν τῶν ἀλόγων εὑρέθη σμήνη, καὶ ἀγέλαι, καὶ νεοσσοτροφίαι, καὶ οἷον ἔρωτες. ψυχαὶ γὰρ ἤδη ἦσαν ἐνταῦθα, καὶ τὸ συναγωγὸν ἐν τοῖς κρείττονι ἐπιτεινόμενον εὑρίσκετο, οἷον οὔτε ἐπὶ φυτῶν ἦν, οὔτε ἐπὶ λίθων, ἢ ξύλων. ἐπὶ δὲ τῶν λογικῶν ζώων, πολιτεῖαι, καὶ φιλίαι, καὶ οἶκοι, καὶ σύλλογοι, καὶ ἐν πολέμοις συνθῆκαι καὶ ἀνοχαί. ἐπὶ δὲ τῶν ἔτι κρειττόνων, καὶ διεστηκότων τρόπον τινὰ ἕνωσις ὑπέστη, οἷα ἐπὶ τῶν ἄστρων. οὕτως ἡ ἐπὶ τὸ κρεῖττον ἐπανάβασις συμπάθειαν καὶ ἐν διεστῶσιν ἐργάσασθαι ἐδύνατο. Ὅρα οὖν τὸ νῦν γινόμενον. μόνα γὰρ τὰ νοερὰ νῦν ἐπιλέλησται τῆς πρὸς ἄλληλα σπουδῆς καὶ

συννεύ-

συννεύσεως, καὶ τὸ σύῤῥουν ὧδε μόνον οὐ βλέ-
πεται. ἀλλ' ὅμως καίτοι φεύγοντες περικα-
ταλαμβάνονται. κρατεῖ γὰρ ἡ φύσις. ὄψει δὲ
ὃ λέγω παραφυλάσσων. θᾶσσον γοῦν εὕροι τις
ἂν γεῶδές τι μηδενὸς γεώδους προσαπτόμενον,
ἤπερ ἄνθρωπον ἀνθρώπου ἀπεσχισμένον. Φέ-
ρει καρπὸν καὶ ἄνθρωπος καὶ θεὸς, καὶ ὁ κόσ-
μος, ἐν ταῖς οἰκείαις ὥραις ἕκαστα φέρει. εἰ δ' ἡ συ-
νήθεια κυρίως τέτροφεν ἐπὶ ἀμπέλου καὶ τῶν ὁ-
μοίων, οὐδὲν τοῦτο. ὁ λόγος δὲ καὶ κοινὸν καὶ
ἴδιον καρπὸν ἔχει, καὶ γίνεται ἐξ αὐτοῦ τοιαῦθ'
ἕτερα, ὁποῖόν τι αὐτός ἐστιν ὁ λόγος. Εἰ μὲν δύ-
νασαι μεταδίδασκε· εἰ δὲ μὴ, μέμνησο ὅτι πρὸς
τοῦτο ἡ εὐμένειά σοι δέδοται. καὶ οἱ θεοὶ δὲ εὐ-
μενεῖς τοῖς τοιούτοις εἰσίν, εἰς ἔνια δὲ καὶ συνερ-
γοῦσιν, εἰς ὑγίειαν, εἰς πλοῦτον, εἰς δόξαν. οὕ-
τως εἰσὶ χρηστοί. ἔξεστι δὲ καὶ σοί· ἢ εἰπέ, τίς ὁ κω-
λύων; πόνει μὴ ὡς ἄθλιος, μηδὲ ὡς ἐλεεῖσθαι ἢ
θαυμάζεσθαι θέλων. ἀλλὰ μόνον ἓν θέλε, κινεῖ-
σθαι καὶ ἴσχεσθαι, ὡς ὁ πολιτικὸς λόγος ἀξιοῖ.
Σήμερον ἐξῆλθον πάσης περιστάσεως, μᾶλλον δὲ
ἐξέβαλον πᾶσαν περίστασιν. ἔξω γὰρ οὐκ ἦν,
ἀλλὰ ἔνδον ἐν ταῖς ὑπολήψεσι. πάντα ταῦ-
τα συνήθη μὲν τῇ πείρᾳ, ἐφήμερα δὲ τῷ χρόνῳ·
ῥυπαρὰ δὲ τῇ ὕλῃ· πάντα νῦν οἷα ἐπ' ἐκεί-
νων, οὓς κατεθάψαμεν. τὰ πράγματα ἔξω θυ-

ρῶν

ρῶν ἕστηκεν, αὐτὰ ἐφ' ἑαυτῶν μηδὲν μήτε εἰδότα περὶ αὐτῶν, μήτε ἀποφαινόμενα. τί οὖν ἀποφαίνεται περὶ αὐτῶν; τὸ ἡγεμονικόν, οὐκ ἐν πείσει, ἀλλ' ἐνεργείᾳ τὸ τοῦ λογικοῦ πολιτικοῦ ζώου κακὸν καὶ ἀγαθόν. ὥσπερ οὐδὲ ἡ ἀρετὴ καὶ κακία αὐτοῦ ἐν πείσει, ἀλλὰ ἐνεργείᾳ. τῷ ἀναῤῥιφέντι λίθῳ οὐδὲν κακὸν τὸ κατενεχθῆναι· οὐδὲ ἀγαθὸν τὸ ἀνενεχθῆναι.

Δίελθε ἔσω εἰς τὰ ἡγεμονικὰ αὐτῶν, καὶ ὄψει τίνας κριτὰς φοβῇ, οἵους καὶ περὶ αὐτῶν ὄντας κριτάς. πάντα ἐν μεταβολῇ. καὶ αὐτὸς σὺ ἐν διηνεκεῖ ἀλλοιώσει, καὶ κατά τι φθορᾷ. καὶ ὁ κόσμος δὲ ὅλος, τὸ ἄλλου ἁμάρτημα. ἐκεῖ δεῖ καταλιπεῖν. ἐνεργείας ἀπόληξις, ὁρμῆς, ὑπολήψεως παῦλα, καὶ οἷον θάνατος, οὐδὲν κακόν. μέτιθι νῦν ἐπὶ ἡλικίαν, οἷον τὴν παιδικήν, τὴν τοῦ μειρακίου, τὴν νεότητα, τὸ γῆρας. καὶ γὰρ τούτων πᾶσα μεταβολὴ θάνατος, μήτι δεινόν; μέτιθι νῦν ἐπὶ βίον τὸν ὑπὸ τῷ πάππῳ, εἶτα τὸν ὑπὸ τῇ μητρὶ, εἶτα τὸν ὑπὸ τῷ πατρί. καὶ ἄλλας δὲ πολλὰς διαφορὰς καὶ μεταβολὰς καὶ ἀπολήξεις εὑρίσκων, ἐπερώτα σεαυτὸν μήτι δεινόν. οὕτως τοίνυν οὐδὲ ἡ τοῦ ὅλου σου βίου λῆξις, καὶ παῦλα, καὶ μεταβολή. τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικόν, καὶ τὸ τοῦ ὅλου, καὶ τὸ τούτου. τὸ μὲν σεαυτοῦ. ἵνα νοῦν δικαι-

δικαιϊκὸν αὐτὸ ποιήσῃς. τὸ δὲ τοῦ ὅλου, ἵνα συμμνημονεύσῃς τίνος μέρος εἶ. τὸ δὲ τούτου, ἵνα ἐπιστήσῃς πότερον ἄγνοια, ἢ γνώμη. καὶ ἅμα λογίσῃ ὅτι συγγενὴς. ὥσπερ αὐτὸς σὺ πολιτικοῦ συστήματος συμπληρωτικὸς εἶ· οὕτως καὶ πᾶσα πρᾶξις σου συμπληρωτικὴ ἔστω ζωῆς πολιτικῆς. ἥτις ἐὰν οὖν πρᾶξις σου μὴ ἔχῃ τὴν ἀναφορὰν, εἴτε προσεχῶς, εἴτε πόῤῥωθεν ἐπὶ τὸ κοινωνικὸν τέλος, αὕτη διασπᾷ τὸν βίον, καὶ οὐκ ἐᾷ ἕνα εἶναι. καὶ στασιώδης ἐστὶν, ὥσπερ ἐν δήμῳ ὁ τὸ καθ' αὑτὸν μέρος διϊστάμενος. ἀπὸ τῆς τοιαύτης συμφωνίας παιδίων ὀργαὶ, καὶ παίγνια, καὶ πνευμάτια, νεκροὺς βαστάζοντα, ὥστε ἐναργέστερον προσπεσεῖν τὸ τῆς νεκύας, ἴθι ἐπὶ τὴν ποιότητα τοῦ αἰτίου. καὶ ἀπὸ τοῦ ὑλικοῦ αὐτὸ περιγράψας θέασαι, εἶτα καὶ τὸν χρόνον περιόρισον, ὅσον πλεῖστον ὑφίστασθαι πέφυκε τοῦτο τὸ ἰδίως ποιόν, ἀνέτλης μυρία, διὰ τὸ μὴ ἀρκεῖσθαι τῷ σῷ ἡγεμονικῷ. ποιοῦντι ταῦτα οἷα κατεσκεύασται· ἀλλὰ ἅλις.

Ὅταν ἄλλος ψέγῃ σε, ἢ μισῇ, ἢ τοιαῦτά τινα ἐκφωνῶσιν, ἔρχου ἐπὶ τὰ ψυχάρια αὐτῶν· δίελθε ἔσω, καὶ ἴδε ποῖοί τινές εἰσιν. ὄψει, ὅτι οὐ δεῖ σε σπᾶσθαι, ἵνα τούτοις τί ποτε περὶ σοῦ δοκῇ. εὐνοεῖν μέντοι αὐτοῖς δεῖ. φύσει γὰρ φίλοι. καὶ οἱ θεοὶ δὲ παν-

δὲ παντοίως αὐτοῖς βοηθοῦσι, δι' ὀνείρων, διὰ μαντειῶν. πρὸς ταῦτα μέντοι πρὸς ἃ ἐκεῖνοι διαφέρονται, ταῦτα ἐστὶ τὰ τοῦ κόσμου ἐγκύκλια, ἄνω κάτω, ἐξ αἰῶνος εἰς αἰῶνα. καὶ ἤτοι ἐφ' ἕκαστον ὁρμᾷ ἡ τοῦ ὅλου διάνοια, ὅπερ εἰ ἔστιν, ἀποδέχου τὸ ἐκείνης ὁρμητὸν, ἢ ἅπαξ ὥρμησε. τὰ δὲ λοιπὰ, κατ' ἐπακολούθησιν. καὶ τί ἐν τίνι. τρόπον γάρ τινα ἄτομοι, ἢ ἀμερῆ. τὸ δὲ ὅλον, εἴ τις θεὸς εὖ ἔχει πάντα. εἴτε τὸ εἰκῆ, μὴ καὶ σὺ εἰκῆ. ἤδη πάντας ἡμᾶς γῆ καλύψει. ἔπειτα καὶ αὐτὴ μεταβαλῇ. κἀκεῖνα εἰς ἄπειρον μεταβαλεῖ· καὶ πάλιν ἐκεῖνα εἰς ἄπειρον· τὰς γὰρ ἐπικυματώσεις τῶν μεταβολῶν καὶ ἀλλοιώσεων ἐνθυμούμενός τις, καὶ τὸ τάχος, παντὸς θνητοῦ καταφρονήσει. χειμάῤῥους ἡ τῶν ὅλων αἰτία, πάντα φέρει. ὡς εὐτελῆ δὲ καὶ τὰ πολιτικὰ ταῦτα, καὶ ὡς οἴεται φιλοσόφως πρακτικὰ ἀνθρώπεια μυξῶν μεστά. ἄνθρωπε, τί ποτε ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ· ὅρμησον ἐὰν διδῶται. καὶ μὴ περιβλέπου εἴ τις εἴσεται· μηδὲ τὴν Πλάτωνος πολιτείαν ἔλπιζε, ἀλλὰ ἀρκοῦ, εἰ τὸ βραχύτατον πρόεισι. καὶ τούτου αὐτοῦ τὴν ἔκβασιν, ὡς οὐ μικρόν τι ἐστὶ διανοοῦ. δόγμα γὰρ αὐτῶν τίς μεταβάλλει; χωρὶς δὲ δογμάτων μεταβολῆς, τί ἄλλο, ἢ δουλεία στενόντων, καὶ πείθεσθαι προσποιουμένων.

μένων. ὕπαγε νῦν καὶ Ἀλέξανδρον, καὶ Φίλιππον, καὶ Δημήτριον τὸν Φαληρέα μοι λέγε. ὄψονται εἰ εἶδον τί ἡ κοινὴ φύσις ἤθελε, καὶ ἑαυτοὺς ἐπαιδαγώγησαν· εἰ δὲ ἐτραγῴδησαν, οὐδείς με κατακέκρικε μιμεῖσθαι. ἁπλοῦν ἐστι καὶ αἰδῆμον τὸ φιλοσοφίας ἔργον. μή με ἄπαγε ἐπὶ σεμνοτυφίαν. ἄνωθεν ἐπιθεωρεῖν ἀγέλας μυρίας, καὶ τελετὰς μυρίας καὶ πλοῦν παντοῖον, ἐν χειμῶσι καὶ γαλήναις, καὶ διαφορὰς γινομένων, συγγινομένων, ἀπογινομένων. Ἐπινόει δὲ καὶ τὸν ὑπ' ἄλλων πάλαι βεβιωμένον βίον, τὸν μετὰ σὲ βιωθησόμενον, καὶ τὸν νῦν ἐν τοῖς βαρβάροις ἔθνεσι βιούμενον. καὶ ὅσοι μὲν οὐδὲ ὄνομά σου γινώσκουσιν, ὅσοι δὲ τάχιστα ἐπιλήσονται, ὅσοι δὲ ἐπαινοῦντές σε ἴσως νῦν σε τάχιστα ψέξουσι. καὶ ὡς οὔτε ἡ μνήμη ἀξιόλογόν γε, οὔτε ἡ δόξα, οὔτε ἄλλο τι τὸ σύμπαν. ἀταραξία μὲν περὶ τὰ ἀπὸ τῆς ἐκτὸς αἰτίας συμβαίνοντα. δικαιότης δὲ ἐν τοῖς παρὰ τὴν ἐκ σοῦ αἰτίαν ἐνεργουμένοις. Τουτέστιν ὁρμὴ καὶ πρᾶξις, καταλήγουσα ἐπ' αὐτὸ τὸ κοινωνικῶς πρᾶξαι, ὡς τοῦτό σοι κατὰ φύσιν ὄν. πολλὰ περισσὰ περιελεῖν τῶν ἐνοχλούντων σοι δύνασαι, ὅλα ὄντα ἐπὶ τῇ ὑπολήψει σου κείμενα· καὶ πολλὴν εὐρυχωρίαν περιποιήσεις. ἤδη σεαυτῷ τὸν ὅλον κόσμον περιειληφέναι τῇ γνώμῃ, καὶ τὸν ἴδιον αἰῶνα περινοεῖν, καὶ

καὶ τὴν τῆς κατὰ μέρος ἑκάστου πράγματος ταχεῖαν μεταβολὴν ἐνθυμοῖτο. ὡς βραχὺ μὲν τὸ ἀπὸ γενέσεως μέχρι διαλύσεως, ἀχανὲς δὲ τὸ πρὸ τῆς γενέσεως, ὡς καὶ τὸ μετὰ τὴν διάλυσιν ὁμοίως ἄπειρον.

Πάντα ὅσα ὁρᾷς τάχιστα φθαρήσεται, καὶ οἱ φθειρόμενα αὐτὰ ἐπιδόντες τάχιστα, καὶ αὐτοὶ φθαρήσονται. καὶ ὁ ἐσχατόγηρως ἀποθανὼν εἰς ἴσον καταστήσεται τῷ προώρῳ. τίνα τὰ ἡγεμονικὰ τούτων, καὶ περὶ οἷα ἐσπουδάκασι, καὶ δι' οἷα φιλοῦσι καὶ τιμῶσι. γυμνὰ νόμιζε τὰ ψυχάρια αὐτῶν. ὅτε δοκοῦσι βλάπτειν ψέγοντες, ἢ ὠφελεῖν ἐξυμνοῦντες, ὅση οἴησις. ἡ ἀποβολὴ οὐδὲν ἄλλό ἐστιν, ἢ μεταβολή, τούτῳ δὲ χαίρει ἡ τῶν ὅλων φύσις, καθ' ἣν πάντα καλῶς γίνεται. ἐξ αἰῶνος ὁμοειδῶς ἐγίνετο, καὶ εἰς ἄπειρον τοιαῦθ' ἕτερα ἔσται. τί οὖν λέγεις ὅτι ἐγίνετό τε πάντα ὁ καὶ πάντα ἀεὶ κακῶς ἔσται, καὶ οὐδεμία ἄρα δύναμις ἐν τοσούτοις θεοῖς ἐξευρέθη ποτὲ ἡ διορθώσουσα ταῦτα, ἀλλὰ κατακέκριται ὁ κόσμος ἐν ἀδιαλείπτοις κακοῖς συνέχεσθαι. Τὸ σαπρὸν τῆς ἑκάστῳ ὑποκειμένης ὕλης, ὕδωρ, κόνις, ὀστάρια, γράσος ἢ πάλιν, πῶροι γῆς, τὰ μάρμαρα, καὶ ὑποστάθμαι, ὁ χρυσός, ὁ ἄργυρος, καὶ τριχία ἡ ἐσθής, καὶ αἷμα ἡ πορφύρα, καὶ τὰ ἄλλα πάντα τοιαῦτα. καὶ τὸ πνευματικὸν

μιμητικὸν δέ, ἄλλο τοιοῦτον. καὶ ἐκ τούτων εἰς ταῦτα μεταβάλλον. ἅλις τοῦ ἀθλίου βίου, καὶ γογγυσμοῦ, καὶ πιθηκισμοῦ. τί ταράσσῃ, τί τούτων καινόν; τί σε ἐξίστησι; τὸ αἴτιον; ἴδε αὐτό. ἀλλ' ἡ ὕλη; ἴδε αὐτήν. ἔξω δὲ τούτων οὐδέν ἐστιν. ἀλλὰ καὶ πρὸς τοὺς θεοὺς ἤδη ποτὲ ἁπλούστερος καὶ χρηστότερος γενοῦ. ἴσον τὸ ἑκατὸν ἔτεσι, καὶ τὸ τρισὶ ταῦτα ἱστορῆσαι. εἰ μὲν ἥμαρτεν, ἐκεῖ τὸ κακόν. τάχα δ' οὐχ ἥμαρτεν. Ἤτοι ἀπὸ μιᾶς πηγῆς νοερᾶς πάντα ὡς ἐνὶ σώματι ἐπισυμβαίνει καὶ οὐ δεῖ τὸ μέρος τοῖς ὑπὲρ τοῦ ὅλου γινομένοις μέμφεσθαι. ἢ ἄτομοι, καὶ οὐδὲν ἄλλο, ἢ κυκεὼν καὶ σκεδασμός. τί οὖν ταράσσῃ; τῷ ἡγεμονικῷ λέγεις, τέθνηκας; ἔφθαρσαι; ὑποκρίνῃ, συναγελάζῃ, βόσκῃ; ἤτοι οὐδὲν δύνανται οἱ θεοὶ ἢ δύνανται. εἰ μὲν οὖν μὴ δύνανται, τί εὔχῃ; εἰ δὲ δύνανται, διὰ τί οὐχὶ μᾶλλον εὔχῃ, διδόναι αὐτούς, τὸ μήτε φοβεῖσθαί τι τούτων, μήτε ἐπιθυμεῖν τινὸς τούτων, μήτε λυπεῖσθαι ἐπί τινι τούτων, μᾶλλον τῷ μὴ παρεῖναί τι τούτων, ἢ τὸ παρεῖναι. πάντως γὰρ εἰ δύνανται συνεργεῖν ἀνθρώποις, καὶ εἰς ταῦτα δύνανται συνεργεῖν. ἀλλὰ ἴσως ἐρεῖς, ὅτι ἐπ' ἐμοὶ αὐτὰ οἱ θεοὶ ἐποίησαν· εἶτα, οὐ κρεῖσσον χρῆσθαι τοῖς ἐπὶ σοὶ μετ' ἐλευθερίας, ἢ διαφέρεσθαι πρὸς τὰ μὴ ἐπὶ σοὶ μετὰ δουλείας καὶ ταπεινό-

πεινότητος; τίς δέ σοι εἶπεν, ὅτι οὐχὶ καὶ εἰς τὰ ἐφ' ἡμῖν οἱ θεοὶ συλλαμβάνουσιν. Ἄρξαι γοῦν περὶ τούτων εὔχεσθαι, καὶ ὄψει. οὗτος εὔχεται πῶς κοιμηθῶ μετ' ἐκείνης· σὺ πῶς μὴ ἐπιθυμήσω τοῦ κοιμηθῆναι μετ' ἐκείνης. ἄλλος, πῶς στερηθῶ ἐκείνου σὺ, πῶς μὴ χρήζω τοῦ στερηθῆναι. ἄλλος πῶς μὴ ἀποβάλω τὸ τεκνίον σὺ, πῶς μὴ φοβηθῶ ἀποβαλεῖν ὅλως ὧδε ἐπίστρεψον τὰς εὐχὰς, καὶ θεώρει τί γίνεται. Ὁ Ἐπίκουρος λέγει, ὅτι ἐν τῇ νόσῳ οὐκ ἦσάν μοι αἱ ὁμιλίαι περὶ τῶν τοῦ σωματίου παθῶν, οὐδὲ πρὸς τοὺς εἰσιόντας τοιαῦτά τι, φησὶν ἐλάλουν, ἀλλὰ τὰ προηγούμενα φυσιολογῶν διετέλουν, καὶ πρὸς αὐτῷ τούτῳ ὢν, πῶς ἡ διάνοια συμμεταλαμβάνουσα τῶν ἐν τῷ σαρκιδίῳ τοιούτων κινήσεων ἀταρακτεῖ, τὸ ἴδιον ἀγαθὸν τηροῦσα, οὐδὲ τοῖς ἰατροῖς ἐμπαρεῖχον φησὶ καταφρυάττεσθαι, ὥς τι ποιοῦσιν. ἀλλὰ ὁ βίος ἤγετο εὖ καὶ καλῶς. ταῦτα οὖν ἐκείνῳ ἐν νόσῳ ἐὰν νοσῇς, καὶ ἐν ἄλλῃ τινὶ περιστάσει. τὸ γὰρ μὴ ἀφίστασθαι φιλοσοφίας ἐν οἷς δήποτε τοῖς προσπίπτουσι, μηδὲ τῷ ἰδιώτῃ καὶ φυσιολόγῳ συμφλυαρεῖν, πάσης αἱρέσεως κοινόν. πρὸς μόνῳ τῷ νῦν πρασσομένῳ εἶναι, καὶ τῷ ὀργάνῳ δι' οὗ πράσσει. Ὅταν τινος ἀναισχυντίᾳ προσκόπτῃς, εὐθὺς πυνθάνου σεαυτοῦ· δύνανται οὖν ἐν τῷ

κόσμῳ

κόσμῳ ἀναίσχυντοι μὴ εἶναι; οὐ δύνανται. μὴ οὖν
ἀπαίτει τὸ ἀδύνατον. εἷς γὰρ καὶ οὗτός ἐστιν
ἐκείνων τῶν ἀναισχύντων, οὓς ἀνάγκη ἐν τῷ
κόσμῳ εἶναι. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ πανούργου,
καὶ ἐπὶ τοῦ ἀπίστου, καὶ παντὸς τοῦ ὁπωσοῦν
ἁμαρτάνοντος, ἔστω σοι πρόχειρον. ἅμα γὰρ
τῷ ὑπομνησθῆναι ὅτι τὸ γένος τῶν τοιούτων
ἀδύνατόν ἐστι μὴ ὑπάρχειν, εὐμενέστερος
ἔσῃ πρὸς τοὺς καθ' ἕνα. Εὔχρηστον δὲ κἀκεῖνο
εὐθὺς ἐννοεῖν, τίνα ἔδωκεν ἡ φύσις τῷ
ἀνθρώπῳ ἀρετὴν πρὸς τοῦτο τὸ ἁμάρτημα. ἔ-
δωκε γὰρ, ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀ-
γνώμονα τὴν πραότητα, πρὸς δὲ ἄλλον, ἄλλην
τινὰ δύναμιν. ὅλως δὲ ἔξεστί σοι μεταδιδά-
σκειν τὸν πεπλανημένον. πᾶς δὲ ὁ ἁμαρτάνων,
ἀφαμαρτάνει τοῦ προκειμένου, καὶ πεπλάνη-
ται. τί δὲ καὶ βέβλαψαι; εὑρήσεις γὰρ μηδένα τού-
των πρὸς οὓς παροξύνῃ πεποιηκότα τι τοιοῦτον,
ἐξ οὗ ἡ διάνοιά σου χείρων ἔμελλε γενήσεσθαι. τὸ δὲ
κακόν σου καὶ τὸ βλαβερὸν, ἐνταῦθα πᾶσαν τὴν
ὑπόστασιν ἔχει. τί δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ
ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράσσει. ὅρα μὴ
σεαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλεις, ὅτι οὐ προσεδό-
κησας τοῦτον τοῦτο ἁμαρτήσεσθαι. σὺ γὰρ καὶ ἀφορ-
μὰς ἐκ τοῦ λόγου εἶχες πρὸς τὸ ἐνθυμηθῆναι ὅτι εἰ-
κός ἐστι τοῦτον τοῦτο ἁμαρτήσεσθαι. καὶ ὅμως ἐπιλα-

δόμενος θαυμάζεις εἰ ἡμάρτηκε. Μάλιστα δὲ ὅταν ὡς ἀπίστῳ, ἢ ἀχαρίστῳ μέμφῃ, εἰς ἑαυτὸν ἐπιστρέφου. προδήλως γὰρ σὸν τὸ ἁμάρτημα, εἴτε περὶ τοῦ τοιαύτην τὴν διάθεσιν ἔχοντος ἐπίστευσας, ὅτι τὴν πίστιν φυλάξει, εἴτε τὴν χάριν διδοὺς, μὴ καταληκτικῶς ἔδωκας, μηδὲ ὥστε ἐξ αὐτῆς τῆς πράξεως εὐθὺς ἀπειληφέναι πάντα τὸν καρπόν. τί γὰρ πλέον θέλεις εὖ ποιήσας ἄνθρωπον; οὐκ ἀρκεῖ σοι; κατὰ φύσιν τὴν σὴν τι ἔπραξας, τούτου μισθὸν ζητεῖς; ὡς εἰ ὁ ὀφθαλμὸς ἀμοιβὴν ἀπῄτει, ὅτι βλέπει, ἢ οἱ πόδες, ὅτι βαδίζουσιν. ὥσπερ γὰρ ταῦτα πρὸς τόδε τι γέγονεν, ἅπερ κατὰ τὴν ἰδίαν κατασκευὴν ἐνεργοῦντα ἀπέχει τὸ ἴδιον· οὕτως καὶ ὁ ἄνθρωπος εὐεργετικὸς πεφυκὼς, ὁπόταν τι εὐεργετικὸν, ἢ ἄλλως εἰς τὰ μέσα συνεργητικὸν πράξῃ, πεποίηκε πρὸς ὃ κατεσκεύασται, καὶ ἔχει τὸ ἑαυτοῦ.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ι.

ἜΣῃ ποτὲ ἄρ' ὦ ψυχὴ ἀγαθὴ, καὶ ἁπλῆ, καὶ μία, ἢ γυμνὴ, φανερωτέρα τοῦ περικειμένου σοι σώματος; γεύσῃ ποτὲ ἄρα τῆς φιλητικῆς καὶ στερκτικῆς διαθέσεως; ἔσῃ ποτὲ ἄρα πλήρης καὶ ἀνενδεὴς, καὶ οὐδὲν ἐπιποθοῦσα οὐδὲ ἐπιθυμοῦσα οὐδενὸς, οὔτε ἐμψύχου οὔτε ἀψύχου πρὸς ἡδονῶν ἀπολαύσεις; οὐδὲ χρόνου ἐν ᾧ ἐπὶ μακρότερον ἀπολαύσεις; οὐδὲ τόπου, ἢ χώρας, ἢ ἀέρων εὐκαιρίας· οὐδὲ ἀνθρώπων εὐαρμοσίας. ἀλλὰ ἀρκεσθήσῃ τῇ παρούσῃ καταστάσει, καὶ ἡσθήσῃ τοῖς παροῦσι πᾶσι, καὶ συμπείσεις σεαυτὴν, ὅτι πάντα σοι πάρεστι, πάντα σοι εὖ ἔχει. καὶ παρὰ τῶν θεῶν πάρεστι. καὶ εὖ ἕξει ὅσα φίλον αὐτοῖς, καὶ ὅσα μέλλουσι δώσειν ἐπὶ σωτηρίᾳ τοῦ τελείου ζώου, τοῦ ἀγαθοῦ, καὶ δικαίου, καὶ καλοῦ, καὶ γεννῶντος πάντα καὶ συνέχοντος, καὶ περιέχοντος, ἢ περιλαμβάνοντος, διαλυόμενα εἰς γένεσιν ἑτέρων ὁμοίων. ἔσῃ ποτὲ ἄρα τοιαύτη, οἵα θεοῖς τε καὶ ἀνθρώποις οὕτω

συμπολιτεύεσθαι, ὡς μήτε μέμφεσθαί τι αὐτοῖς, μήτε καταγινώσκεσθαι ὑπ' αὐτῶν; Παρατήρει τί σου ἡ φύσις ἐπιζητεῖ, ὡς ὑπὸ φύσεως μόνον διοικουμένου. εἶτα ποίει αὐτὸ καὶ προσίεσο, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαί σου ἡ ὡς ζώου φύσις. ἑξῆς δὲ παρατηρητέον, τί ἐπιζητεῖ σου ἡ ὡς ζώου φύσις. καὶ πᾶν τοῦτο παραληπτέον, εἰ μὴ χεῖρον μέλλῃ διατίθεσθαι, ἡ ὡς ζώου λογικοῦ φύσις. ἔστι δὲ τὸ λογικὸν εὐθὺς καὶ πολιτικόν. τούτοις δὴ κανόσι χρώμενος μηδὲν περιεργάζου. Πᾶν τὸ συμβαῖνον, ἤτοι οὕτως συμβαίνει, ὡς πέφυκας αὐτὸ φέρειν, ἢ ὡς οὐ πέφυκας αὐτὸ φέρειν. εἰ μὲν οὖν συμβαίνῃ σοι ὡς πέφυκας φέρειν, μὴ δυσχέραινε· ἀλλ' ὡς πέφυκας φέρε. εἰ δὲ ὡς μὴ πέφυκας φέρειν, μὴ δυσχέραινε. φθαρήσεται γάρ σε ἀπαναλῶσαν. μέμνησο μέντοι ὅτι πέφυκας φέρειν πᾶν, περὶ οὗ ἐπὶ τῇ ὑπολήψει ἐστὶ τῇ σῇ φορητὸν καὶ ἀνεκτὸν αὐτὸ ποιῆσαι, κατὰ φαντασίαν τοῦ συμφέρειν ἢ καθήκειν σεαυτῷ τοῦτο ποιεῖν. Εἰ μὲν σφάλλεται, διδάσκειν εὐμενῶς, καὶ τὸ παρορώμενον δεικνύναι. εἰ δὲ ἀδυνατεῖς, σεαυτὸν αἰτιᾶσθαι, ἢ μηδὲ σεαυτόν. Ὅ, τι ἄν σοι συμβαίνῃ, τοῦτό σοι ἐξ αἰῶνος προκατεσκευάζετο, καὶ ἡ ἐπιπλοκὴ τῶν αἰτίων συνέκλωθε, τήν τε σὴν ὑπόστασιν ἐξ ἀϊδίου, καὶ τὴν τούτου σύμβασιν. Εἴτε ἄτομοι, εἴτε φύσεις, πρῶ-

τον

τον μεμνήσθω ὅτι μέρος εἰμὶ τοῦ ὅλου ὑπὸ φύσεως διοικουμένου. ἔπειτα, ὅτι ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη. τούτων γὰρ μεμνημένος, καθότι μὲν μέρος εἰμὶ, οὐδενὶ δυσαρεστήσω τῶν ἐκ τοῦ ὅλου ἀπονεμομένων. οὐδὲν γὰρ βλαβερὸν τῷ μέρει, ὃ τῷ ὅλῳ συμφέρει. οὐ γὰρ ἔχει τί τὸ ὅλον, ὃ μὴ συμφέρει ἑαυτῷ. πασῶν μὲν φύσεων κοινὸν ἐχουσῶν τοῦτο· τῆς δὲ τοῦ κόσμου προσειληφυίας, τὸ μηδὲ ὑπό τινος ἔξωθεν αἰτίας ἀναγκάζεσθαι βλαβερόν τι ἑαυτῇ γεννᾷν. κατὰ μὲν δὴ τὸ μεμνῆσθαι ὅτι μέρος εἰμὶ ὅλου τοῦ τοιούτου, εὐαρεστήσω παντὶ τῷ ἀποβαίνοντι, καθὸ δὲ ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη, οὐδὲν πράξω ἀκοινώνητον· μᾶλλον δὲ στοχάσομαι τῶν ὁμογενῶν, καὶ πρὸς τὸ κοινῇ συμφέρον πᾶσαν ὁρμὴν ἐμαυτοῦ ἄξω, καὶ ἀπὸ τοὐναντίου ἀπάξω. Τούτων δὲ οὕτω περαινομένων, ἀνάγκη τὸν βίον εὐροεῖν· ὡς ἂν καὶ πολίτου βίον εὔρουν ἐπινοήσειας προϊόντος διὰ πράξεων τοῖς πολίταις λυσιτελῶν, καὶ ὅπερ ἂν ἡ πόλις ἀπονέμῃ τοῦτο ἀσπαζομένου. Τοῖς μέρεσι τοῦ ὅλου, ὅσα φημὶ περιέχεται ὑπὸ τοῦ κόσμου, ἀνάγκη φθείρεσθαι. λεγέσθω δὲ τοῦτο σημαντικῶς τοῦ ἀλλοιοῦσθαι. εἰ δὲ φημὶ κακόν τε, καὶ ἀναγκαῖον εἶναι τοῦτο αὐτοῖς, οὐκ ἂν τὸ ὅλον καλῶς διεξάγοιτο, τῶν μερῶν εἰς ἀλλοτρίωσιν ὄντων, καὶ πρὸς

τὸ φθείρεσθαι διαφόρως κατεσκευασμένων. πότερον γὰρ ἐπεχείρησεν ἡ φύσις αὐτὴ τὰ ἑαυτῆς μέρη κακοῦν, καὶ περιπτωτικὰ τῷ κακῷ, καὶ ἐξ ἀνάγκης ἔμπτωτα εἰς τὸ κακὸν ποιεῖν, ἢ ἔλαθεν αὐτὴν τοιάδε τινὰ γινόμενα; ἀμφότερα γὰρ ἀπίθανα. εἰ δέ τις καὶ ἀφέμενος τῆς φύσεως, κατὰ τὸ πεφυκέναι ταῦτα ἐξηγοῖτο, καὶ ὡς γελοῖον, ἅμα μὲν φάναι πεφυκέναι τὰ μέρη τοῦ ὅλου μεταβάλλειν, ἅμα δὲ ὡς ἐπί τινι τῶν παρὰ φύσιν συμβαίνοντι θαυμάζειν, ἢ δυσχεραίνειν· ἄλλως τε καὶ τῆς διαλύσεως εἰς ταῦτα γινομένης, ἐξ ὧν ἕκαστον συνίσταται. ἤτοι γὰρ σκεδασμὸς στοιχείων ἐξ ὧν συνεκρίθη, ἢ τροπή, τοῦ μὲν στερεμνίου εἰς τὸ γεῶδες· τοῦ δὲ πνευματικοῦ, εἰς τὸ ἀερῶδες. ὥστε καὶ ταῦτα ἀναληφθῆναι εἰς τὸν τοῦ ὅλου λόγον, εἴτε κατὰ περίοδον ἐκπυρουμένου, εἴτε ἀϊδίοις ἀμοιβαῖς ἀνανεουμένου. καὶ τὸ στερέμνιον δέ, καὶ τὸ πνευματικὸν μὴ φαντάζου σοι ἀπὸ τῆς γενέσεως. πᾶν γὰρ τοῦτο ἐχθὲς, καὶ τρίτην ἡμέραν, ἐκ τῶν σιτίων καὶ ἑλκομένου ἀέρος τὴν ἐπιρροὴν ἔλαβεν. τοῦτο οὖν ὃ ἔλαβε, μεταβάλλει, οὐχ ὃ ἡ μήτηρ ἔτεκεν· ὑπόθου δ' ὅτι ἐκεῖνό σε λίαν προσπλέκει τῷ ἰδίως ποιῷ, οὐδέν ὄντι οἶμαι πρὸς τὸ νῦν λεγόμενον. Ὀνόματα θέμενος σαυτῷ ταῦτα, ἀγαθὸς, αἰδήμων, ἀληθὴς, ἔμφρων, σύμφρων, ὑπέρφρων,

φρων, πρόσεχε μήποτε μετονομάζῃ, καὶ ἀπολλύῃς ταῦτα τὰ ὀνόματα. καὶ ταχέως ἐπάνιθι ἐπ' αὐτά. μέμνησο δὲ, ὅτι τὸ μὲν ἔμφρον, ἐβούλετό σοι σημαίνειν τὴν ἐφ' ἕκαστα διαληπτικὴν ἐπίστασιν, καὶ τὸ ἀπαρενθύμητον. τὸ δὲ σύμφρον, τὴν ἑκούσιον ἀπόδεξιν τῶν ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμομένων. τὸ δὲ ὑπέρφρον, τὴν ὑπέρτασιν τοῦ φρονοῦντος μορίου ὑπὲρ λείαν ἢ τραχεῖαν κίνησιν τῆς σαρκὸς, καὶ τὸ δοξάριον, καὶ τὸν θάνατον καὶ ὅσα τοιαῦτα. ἐὰν οὖν διατηρῇς σεαυτὸν ἐν τούτοις τοῖς ὀνόμασι, μὴ γλιχόμενος τοῦ ὑπ' ἄλλων κατὰ ταῦτα ὀνομάζεσθαι, ἔσῃ ἕτερος. καὶ εἰς βίον εἰσελεύσῃ ἕτερον. τὸ γὰρ ἔτι τοιοῦτον εἶναι οἷος μέχρι νῦν γέγονας, καὶ ἐν βίῳ τοιούτῳ σπαράσσεσθαι καὶ μολύνεσθαι, λίαν ἐστὶν ἀναισθήτου καὶ φιλοψύχου, καὶ ὁμοίου τοῖς ἡμιβρώτοις θηριομάχοις· οἵτινες μεστοὶ τραυμάτων καὶ λύθρου, παρακαλοῦσιν ὅμως εἰς τὴν αὔριον φυλαχθῆναι, παραβληθησόμενοι τοιοῦτοι· τοῖς αὐτοῖς ὄνυξι καὶ δήγμασιν. Ἐμβίβασον οὖν σαυτὸν εἰς τὰ ὀλίγα ταῦτα ὀνόματα. κἂν μὲν ἐπ' αὐτῶν μένειν δύνῃ, μένε ὥσπερ εἰς μακάρων τινὰς νήσους μετῳκισμένος. ἐὰν δὲ αἴσθῃ ὅτι ἐκπίπτεις, καὶ οὐ περικρατεῖς, ἄπιθι θαῤῥῶν εἰς γωνίαν τινὰ, ὅπου κρατήσεις, ἢ καὶ παντάπασιν ἔξιθι τοῦ βίου, μὴ ὀργιζόμενος, ἀλλὰ ἁπλῶς καὶ ἐλευθέρως, καὶ αἰδημόνως.

εἴ γε τοῦτο μόνον πράξας ἐν τῷ βίῳ, τὸ οὕτως ἐξελθεῖν. Πρὸς μέντοι τὸ μεμνῆσθαι τῶν ὀνομάτων, μεγάλως συλλήψεταί σοι, τὸ μεμνῆσθαι θεῶν καὶ ὅτι οὐ κολακεύεσθαι οὗτοι θέλουσιν, ἀλλὰ ἐξομοιοῦσθαι ἑαυτοῖς τὰ λογικὰ πάντα. καὶ εἶναι τὴν μὲν συκῆν τὰ συκῆς ποιοῦσαν· τὸν δὲ κύνα, τὰ κυνός. τὴν δὲ μέλισσαν, τὰ μελίσσης. τὸν δὲ ἄνθρωπον, τὰ ἀνθρώπου. Μῖμος πόλεμος, πτοία, νάρκη, δουλεία, καθ᾽ ἡμέραν ἀπαλείψεταί σου τὰ ἱερὰ ἐκεῖνα δόγματα, ὁπόσα ὁ φυσιολόγητος φαντάζῃ καὶ παραπέμπεις. δεῖ δὲ πᾶν οὕτω βλέπειν καὶ πράσσειν, ὥστε καὶ τὸ περιστατικὸν ἅμα συντελεῖσθαι, καὶ ἅμα τὸ θεωρητικὸν ἐνεργεῖσθαι. καὶ τὸ ἐκ τῆς περὶ ἑκάστων ἐπιστήμης αὔθαδες σῴζεσθαι λανθάνον, οὐχὶ κρυπτόμενον. πότε γὰρ ἁπλότητος ἀπολαύσεις, πότε δὲ σεμνότητος, πότε δὲ τῆς ἐφ᾽ ἑκάστου γνωρίσεως. τί τέ ἐστι κατ᾽ οὐσίαν καὶ τίνα χώραν ἔχει ἐν τῷ κόσμῳ, καὶ πόσον πέφυκεν ὑφίστασθαι καὶ ἐκ τίνων συγκέκριται, καὶ τίσι δύναται ὑπάρχειν, καὶ τίνες δύνανται αὐτὸ διδόναι τε καὶ ἀφαιρεῖσθαι. ἀράχνιον μυῖαν θηράσαν μέγα φρονεῖ, ἄλλος δὲ λαγίδιον, ἄλλος δὲ ὑποχῇ ἀφύην, ἄλλος δὲ σιΐδια· ἄλλος δὲ ἄρκτους· ἄλλος Σαρμάτας. οὗτοι γὰρ οὐ λῃσταί; ἐὰν τὰ δόγματα ἐξετάζῃς, πῶς εἰς ἄλληλα πάντα μεταβάλλει, θεωρητικὴν μέθοδον κτῆσαι. καὶ διηνεκῶς πρόσεχε, καὶ

συγγυμνά

συγγεγυμνάσθαι περὶ τοῦτο τὸ μέρος. οὐδὲν γὰρ οὕτω μεγαλοφροσύνης ποιητικόν. ὑπεξέδυσατο τὸ σῶμα. καὶ ἐννοήσας, ὅτι ὅσον οὐδέπω πάντα ταῦτα καταλιπεῖν ἀπιόντα ἐξ ἀνθρώπων δεήσει, ἀνῆκεν ὅλον ἑαυτὸν, δικαιοσύνῃ μὲν εἰς τὰ ὑφ' ἑαυτοῦ ἐνεργούμενα, ἐν δὲ τοῖς ἄλλοις συμβαίνουσι, τῇ τῶν ὅλων φύσει. τί δ' ἐρεῖ τις ἢ ὑπολήψεται περὶ αὐτοῦ, ἢ πράξει κατ' αὐτοῦ, οὐδ' εἰς νοῦν βάλλεται. δύο τούτοις ἀρκούμενος αὐτὸς, δικαιοπραγεῖν τὸ νῦν πρασσόμενον, καὶ φιλεῖν τὸ νῦν ἀπονεμόμενον ἑαυτῷ. ἀσχολίας δὲ πάσας καὶ σπουδὰς ἀφῆκε. καὶ οὐδὲν ἄλλο βούλεται, ἢ εὐθεῖαν περαίνειν διὰ τοῦ νόμου, καὶ εὐθεῖαν περαίνοντι ἕπεσθαι τῷ θεῷ. Τίς ὑπονοίας χρεία, παρὸν σκοπεῖν τί δεῖ πραχθῆναι. κἂν μὲν συνορᾷς εὐμενῶς, ἀμεταστρεπτὶ ταύτῃ χωρεῖν. ἐὰν δὲ μὴ συνορᾷς, ἐπέχειν, καὶ συμβούλοις τοῖς ἀρίστοις χρῆσθαι. ἐὰν δὲ ἕτερά τινα πρὸς ταῦτα ἀντιβαίνῃ, προϊέναι κατὰ τὰς παρούσας ἀφορμὰς λελογισμένως, ἐχόμενον τοῦ φαινομένου δικαίου. ἄριστον γὰρ κατατυγχάνειν τούτου. ἐπεί τοι ἥγε ἀπόπτωσις ἀπὸ τούτου. ἔστω, σχολαῖόν τι καὶ ἅμα εὐκίνητόν ἐστι, καὶ φαιδρὸν ἅμα, καὶ συνεστηκὸς ὁ τῷ λόγῳ κατὰ πᾶν ἑπόμενος. Πυνθάνεσθαι ἑαυτοῦ, εὐθὺς ἐξ ὕπνου γινόμενον, μή τι διοίσει σοι, ἐὰν

ἐὰν ὑπὸ ἄλλου γίνηται τὰ δίκαια καὶ καλῶς ἔχοντα; οὐ διοίσει. μήτι ἐπιλέλησαι, ὅτι οὗτοι οἱ ἐν τοῖς περὶ ἄλλων ἐπαίνοις καὶ ψόγοις φρυαττόμενοι, τοιοῦτοι μὲν ἐπὶ τῆς κλίνης εἰσὶ, τοιοῦτοι δὲ ἐπὶ τῆς τραπέζης, οἷα δὲ ποιοῦσιν, οἷα δὲ φεύγουσιν, οἷα δὲ διώκουσιν, οἷα δὲ κλέπτουσιν, οἷα δὲ ἁρπάζουσιν, οὐ χερσὶ καὶ ποσὶν, ἀλλὰ τῷ τιμιωτάτῳ ἑαυτῶν μέρει, ᾧ γίνεται ὅταν θέλῃ, πίστις, αἰδὼς, ἀλήθεια, νόμος, ἀγαθὸς δαίμων. Τῇ πάντα διδούσῃ καὶ ἀπολαμβανούσῃ φύσει, ὁ πεπαιδευμένος καὶ αἰδήμων λέγει· δὸς ὃ θέλεις, ἀπόλαβε ὃ θέλεις. λέγει δὲ τοῦτο οὐ καταθρασυνόμενος, ἀλλὰ πειθαρχῶν μόνον καὶ εὐνοῶν αὐτῇ. ὀλίγον ἐστὶ τὸ ὑπολειπόμενον τοῦτο. ζῆσον ὡς ἐν ὄρει. οὐδὲν γὰρ διαφέρει ἐκεῖ ἢ ὧδε ἐάν τις πανταχοῦ ὡς ἐν πόλει τῷ κόσμῳ. ἰδέτωσαν, ἱστορησάτωσαν οἱ ἄνθρωποι, ἄνθρωπον ἀληθινὸν κατὰ φύσιν ζῶντα. εἰ μὴ φέρουσιν, ἀποκτεινάτωσαν. κρεῖττον γὰρ ἢ οὕτω ζῆν. Μηκέτι ὅλως περὶ τοῦ οἷόν τινα εἶναι τὸν ἀγαθὸν ἄνδρα διαλέγεσθαι. ἀλλὰ εἶναι τοιοῦτον. Τοῦ ὅλου αἰῶνος, καὶ τῆς ὅλης οὐσίας συνεχῶς φαντασία. καὶ ὅτι πάντα τὰ κατὰ μέρος, ὡς μὲν πρὸς οὐσίαν κεγχραμίς· ὡς δὲ πρὸς χρόνον, τρυπάνου περιστροφή. Εἰς ἕκαστον τῶν ὑποκειμένων ἐφιστάντα, ἐπινοεῖν αὐτὸ ἤδη διαλυόμε-

νον,

νον, καὶ ἐν μεταβολῇ καὶ οἷον σήψει ἢ σκεδάσει γινόμενον : ἢ καθότι ἕκαστον πέφυκεν ὥσπερ θνήσκειν. Οἷοί εἰσιν, ἐσθίοντες, καθεύδοντες, ὀχεύοντες, ἀποπατοῦντες, τὰ ἄλλα, εἶτα οἷοι ἀνδρονομούμενοι, καὶ γαυρούμενοι, ἢ χαλεπαίνοντες, καὶ ἐξ ὑπεροχῆς ἐπιπλήττοντες. πρὸ ὀλίγου δὲ ἐδούλευον πόσοις, καὶ δι' οἷα : καὶ μετ' ὀλίγον, ἐν τοιούτοις ἔσονται. Συμφέρει ἑκάστῳ, ὃ φέρει ἑκάστῳ ἡ τῶν ὅλων φύσις. καὶ τότε συμφέρει, ὅτε ἐκείνη φέρει. ἐρᾷ μὲν ὄμβρου γαῖα. ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ. ἐρᾷ δὲ ὁ κόσμος ποιῆσαι ὃ ἂν μέλλῃ γίνεσθαι. λέγω οὖν τῷ κόσμῳ ὅτι σοὶ συνερῶ. μήτι δ' οὕτω κἀκεῖνο γίνεται καὶ λέγεται, ὅτι φιλεῖ τοῦτο γίνεσθαι. ἤτοι ἐνταῦθα ζῇς, καὶ ἤδη εἴθικας, ἢ ἔξω ὑπάγεις, καὶ τοῦτο ἤθελες. ἢ ἀποθνήσκεις, καὶ ἀπελειτούργησας. παρὰ δὲ ταῦτα οὐδέν. οὐκοῦν εὐθύμει. ἐναργὲς ἔστω ἀεί, τὸ ὅτι τοιοῦτο ἐκεῖνο ὁ ἀγρός ἐστι. καὶ πῶς πάντα ἐστὶ ταὐτὰ ἐνθάδε τοῖς ἐν ἄκρῳ τῷ ὄρει, ἢ ἐπὶ τοῦ αἰγιαλοῦ, ἢ ὅπου θέλεις. ἄντικρυς γὰρ εὑρήσεις τὰ τοῦ Πλάτωνος, σηκὸν ἐν ὄρει φησὶ περιβαλλόμενος, καὶ βάλλων βλήματα. Τί ἐστί μοι τὸ ἡγεμονικόν μου. καὶ ποῖόν τι ἐγὼ αὐτὸ ποιῶ νῦν, καὶ πρὸς τί ποτε αὐτῷ νῦν χρῶμαι; μήτι κενὸν νοῦ ἐστι; μήτι ἀπόλυτον καὶ ἀπεσπασμένον κοινωνίας; μήτι προστετηκὸς καὶ

ἀνακε-

ἀνακεκραμμένον περὶ σαρκιδίῳ, ὥστε τούτῳ συντρέπεσθαι. ὁ τὸν κύριον φεύγων, δραπέτης. κύριος δὲ ὁ νόμος· καὶ ὁ παρανομῶν, δραπέτης. ἅμα καὶ ὁ λυπούμενος ἢ ὀργιζόμενος ἢ φοβούμενος ὁ βούλεταί τι γεγονέναι, ἢ γίνεσθαι, ἢ γενέσθαι, τῶν ὑπὸ τοῦ τὰ πάντα διοικοῦντος τεταγμένων, ὅς ἐστι νόμος, νέμων, ὅσα ἑκάστῳ ἐπιβάλλει. ὁ ἄρα φοβούμενος, ἢ λυπούμενος, ἢ ὀργιζόμενος, δραπέτης.

Σπέρμα εἰς μήτραν ἀφεὶς ἀπεχώρησε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα ἐργάζεται, καὶ ἀποτελεῖ βρέφος. ἐξ οἵου, οἷον. πάλιν τροφὴν διὰ φάρυγγος ἀφῆκε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα αἴσθησιν, καὶ ὁρμὴν, καὶ τὸ ὅλον ζωὴν καὶ ῥώμην, καὶ ἄλλα ὅσα καὶ οἷα ποιεῖ. ταῦτα οὖν τὰ ἐν τοιαύτῃ ἐγκαλύψει γινόμενα θεωρεῖν. καὶ τὴν δύναμιν οὕτως ὁρᾶν, ὡς καὶ τὴν βρίθουσαν, καὶ τὴν ἀνωφερῆ ὁρῶμεν, οὐχὶ τοῖς ὀφθαλμοῖς, ἀλλ' οὐχ ἧττον ἐναργῶς. Συνεχῶς ἐπινοεῖν, πῶς πάντα τοιαῦτα ὁποῖα νῦν γίνεται, καὶ πρόσθεν ἐγίνετο, καὶ ἐπινοεῖν γενησόμενα, καὶ ὅλα δράματα καὶ σκηνὰς ὁμοειδεῖς, ὅσα ἐκ πείρας τῆς σῆς; ἢ τῆς πρεσβυτέρας ἱστορίας ἔγνως, πρὸ ὀμμάτων τίθεσθαι. οἷον αὐλὴν ὅλην Ἀδριανοῦ, καὶ αὐλὴν ὅλην Ἀντωνίνου, καὶ αὐλὴν

ὅλην

ὅλην Φιλίππου, Ἀλεξάνδρου, Κροίσου, πάντα γὰρ ἐκεῖνα τοιαῦτα ἦν. μόνον δι' ἑτέρων. φαντάζου πάντα τὸν ἐφ' ὁτινιοῦν λυπούμενον, ἢ δυσαρεστοῦντα, ὅμοιον τῷ θυομένῳ χοιριδίῳ, καὶ ἀπολακτίζοντι καὶ κεκραγότι. ὅμοιον καὶ ὁ οἰμώζων ἐπὶ τοῦ κλινιδίου μόνος σιωπῇ τὴν ἔνδεσιν ἡμῶν· καὶ ὅτι μόνῳ τῷ λογικῷ ζώῳ δέδοται, τὸ ἑκουσίως ἕπεσθαι τοῖς γινομένοις. τὸ δὲ ἕπεσθαι ψιλὸν πᾶσιν ἀναγκαῖον. κατὰ μέρος ἐφ' ἑκάστου ὧν ποιεῖς ἐφιστάμενος, ἐρώτα σεαυτόν, εἰ ὁ θάνατος δεινὸν διὰ τὸ τούτου στέρεσθαι. Ὅταν προσκόπτῃς ἐπί τινος ἁμαρτίᾳ, εὐθὺς μεταβὰς ἐπιλογίζου τί παρόμοιον ἁμαρτάνεις. οἷον ἀργύριον, ἀγαθὸν εἶναι κρίνων, τὴν ἡδονήν, ἢ τὸ δοξάριον. καὶ κατ' εἶδος τούτῳ γὰρ ἐπιβάλλων ταχέως ἐπιλήσῃ τῆς ὀργῆς, συμπίπτοντος τοῦ ὅτι βιάζεται. τί γὰρ ποιήσει; ἢ εἰ δύνασαι, ἄφελε αὐτοῦ τὸ βιαζόμενον. Σατύρωνα ἰδών, Σωκρατικὸν φαντάζου ἢ Εὐτυχῆ, ἢ Ὑμένα. καὶ Εὐφράτην ἰδών, Εὐτυχίωνα, ἢ Σιλουανὸν φαντάζου. καὶ Ἀλκίφρονα, Τροπαιοφόρον φαντάζου. καὶ Ξενοφῶντα ἰδών, Κρίτωνα ἢ Σεβῆρον φαντάζου. καὶ εἰς ἑαυτὸν ἀπιδὼν τῶν Καισάρων τινὰ φαντάζου, καὶ ἐφ' ἑκάστου τὸ ἀνάλογον. εἶτα συμπροσπιπτέτω σοι. ποῦ οὖν ἐκεῖνοι; οὐδαμοῦ, ἢ ὁπουδή. οὕτως γὰρ συνεχῶς θεάσῃ τὰ ἀνθρώπινα, καπνόν, καὶ τὸ μηδέν. μάλιστα ἐὰν συμμνημονεύσῃς, ὅτι τὸ

ἅπαξ

πενότητος; τίς δέ σοι εἶπεν, ὅτι οὐχὶ καὶ εἰς τὰ ἐφ' ἡμῖν οἱ θεοὶ συλλαμβάνουσιν. ἄρξαι γοῦν περὶ τούτων εὔχεσθαι, καὶ ὄψει. οὗτος εὔχεται πῶς κοιμηθῶ μετ' ἐκείνης· σὺ πῶς μὴ ἐπιθυμήσω τοῦ κοιμηθῆναι μετ' ἐκείνης. ἄλλος, πῶς στερηθῶ ἐκείνου σύ, πῶς μὴ χρήζω τοῦ στερηθῆναι. ἄλλος πῶς μὴ ἀποβάλω τὸ τεκνίον σύ, πῶς μὴ φοβηθῶ ἀποβαλεῖν ὅλως ὧδε ἐπίστρεψον τὰς εὐχάς, καὶ θεώρει τί γίνεται. Ὁ Ἐπίκουρος λέγει, ὅτι ἐν τῇ νόσῳ οὐκ ἦσάν μοι αἱ ὁμιλίαι περὶ τῶν τοῦ σωματίου παθῶν, οὐδὲ πρὸς τοὺς εἰσιόντας τοιαῦτά τινα φησὶν ἐλάλουν, ἀλλὰ τὰ προηγούμενα φυσιολογῶν διετέλουν, καὶ πρὸς αὐτῷ τούτῳ ὤν, πῶς ἡ διάνοια συμμεταλαμβάνουσα τῶν ἐν τῷ σαρκιδίῳ τοιούτων κινήσεων ἀταρακτεῖ, τὸ ἴδιον ἀγαθὸν τηροῦσα, οὐδὲ τοῖς ἰατροῖς ἐμπαρεῖχον φησὶ καταφρυάττεσθαι, ὥς τι ποιοῦσιν. ἀλλὰ ὁ βίος ἤγετο εὖ καὶ καλῶς. ταῦτα οὖν ἐκείνῳ ἐν νόσῳ ἐὰν νοσῇς, καὶ ἐν ἄλλῃ τινὶ περιστάσει. τὸ γὰρ μὴ ἀφίστασθαι φιλοσοφίας ἐν οἷς δήποτε τοῖς προσπίπτουσι, μηδὲ τῷ ἰδιώτῃ καὶ φυσιολόγῳ συμφλυαρεῖν, πάσης αἱρέσεως κοινόν. πρὸς μόνῳ τῷ νῦν πρασσομένῳ εἶναι, καὶ τῷ ὀργάνῳ δι' οὗ πράσσει. Ὅταν τινὸς ἀναισχυντίᾳ προσκόπτῃς, εὐθὺς πυνθάνου σεαυτοῦ· δύνανται οὖν ἐν τῷ

κόσμῳ

κόσμῳ ἀναίσχυντοι μὴ εἶν; οὐ δύνανται. μὴ οὖν ἀπαίτει τὸ ἀδύνατον. εἷς γὰρ καὶ οὗτος ἐστὶν ἐκείνων τῶν ἀναισχύντων, οὓς ἀνάγκη ἐν τῷ κόσμῳ. εἶναι τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ ἀπίστου, καὶ παντὸς τοῦ ὁπωσοῦν ἁμαρτάνοντος, ἔστω σοι πρόχειρον. ἅμα γὰρ τῷ ὑπομνησθῆναι ὅτι τὸ γένος τῶν τοιούτων ἀδύνατόν ἐστι μὴ ὑπάρχειν, εὐμενέστερος ἔσῃ πρὸς τοὺς καθ' ἕνα. Εὔχρηστον δὲ κἀκεῖνο εὐθὺς ἐννοεῖν, τίνα ἔδωκεν ἡ φύσις τῷ ἀνθρώπῳ ἀρετὴν πρὸς τοῦτο τὸ ἁμάρτημα. ἔδωκε γὰρ, ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀγνώμονα τὴν πρᾳότητα, πρὸς δὲ ἄλλον, ἄλλην τινὰ δύναμιν. ὅλως δὲ ἔξεστί σοι μεταδιδάσκειν τὸν πεπλανημένον. πᾶς δὲ ὁ ἁμαρτάνων, ἀφαμαρτάνει τοῦ προκειμένου, καὶ πεπλάνηται. τί δὲ καὶ βέβλαψαι; εὑρήσεις γὰρ μηδένα τούτων πρὸς οὓς παροξύνῃ πεποιηκότα τι τοιοῦτον, ἐξ οὗ ἡ διάνοιά σου χείρων ἔμελλε γενήσεσθαι. τὸ δὲ κακόν σου καὶ τὸ βλαβερὸν, ἐνταῦθα πᾶσαν τὴν ὑπόστασιν ἔχει. τί δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράσσει. ὅρα μὴ σαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλῃς, ὅτι οὐ προσεδόκησας τοῦτον τοῦτο ἁμαρτήσεσθαι. σὺ γὰρ καὶ ἀφορμὰς ἐκ τοῦ λόγου εἶχες πρὸς τὸ ἐνθυμηθῆναι ὅτι εἰκός ἐστι τοῦτον τοῦτο ἁμαρτήσεσθαι. καὶ ὅμως ἐπιλα-

δόμενος θαυμάζεις εἰ ἡμάρτηκε. Μάλιστα δὲ ὅταν ὡς ἀπίστῳ, ἢ ἀχαρίστῳ μέμφῃ, εἰς ἑαυτὸν ἐπιστρέφου. προδήλως γὰρ σὸν τὸ ἁμάρτημα, εἴτε περὶ τοῦ τοιαύτην τὴν διάθεσιν ἔχοντος ἐπίστευσας, ὅτι τὴν πίστιν φυλάξει, εἴτε τὴν χάριν διδοὺς, μὴ καταληκτικῶς ἔδωκας, μηδὲ ὥστε ἐξ αὐτῆς τῆς πράξεως εὐθὺς ἀπειληφέναι πάντα τὸν καρπόν. τί γὰρ πλέον θέλεις εὖ ποιήσας ἄνθρωπον; οὐκ ἀρκεῖ σοι; κατὰ φύσιν τὴν σὴν τι ἔπραξας, τούτου μισθὸν ζητεῖς; ὡς εἰ ὁ ὀφθαλμὸς ἀμοιβὴν ἀπήτει, ὅτι βλέπει, ἢ οἱ πόδες, ὅτι βαδίζουσιν. ὥσπερ γὰρ ταῦτα πρὸς τόδε τι γέγονεν, ἅπερ κατὰ τὴν ἰδίαν κατασκευὴν ἐνεργοῦντα ἀπέχει τὸ ἴδιον· οὕτως καὶ ὁ ἄνθρωπος εὐεργετικὸς πεφυκὼς, ὁπόταν τι εὐεργετικὸν, ἢ ἄλλως εἰς τὰ μέσα συνεργητικὸν πράξῃ, πεποίηκε πρὸς ὃ κατεσκεύασται, καὶ ἔχει τὸ ἑαυτοῦ.

ΜΑ΄Ρ-

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ'-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ί.

Ἔσῃ ποτὲ ἄρ' ὦ ψυχὴ ἀγαθὴ, καὶ ἁπλῆ, καὶ μία, καὶ γυμνὴ, φανερωτέρα τοῦ περικειμένου σοι σώματος; γεύσῃ ποτὲ ἄρα τῆς φιλητικῆς καὶ στερκτικῆς διαθέσεως; ἔσῃ ποτὲ ἄρα πλήρης καὶ ἀνενδεὴς, καὶ οὐδ' ἐν ἐπιποθοῦσα οὐδὲ ἐπιθυμοῦσα οὐδενὸς, οὔτε ἐμψύχου οὔτε ἀψύχου πρὸς ἡδονῶν ἀπολαύσεις; οὐδὲ χρόνου ἐν ᾧ ἐπὶ μακρότερον ἀπολαύσεις; οὐδὲ τόπου, ἢ χώρας, ἢ ἀέρων εὐκαιρίας· οὐδὲ ἀνθρώπων εὐαρμοστίας. ἀλλὰ ἀρκεσθήσῃ τῇ παρούσῃ καταστάσει, καὶ ἡσθήσῃ τοῖς παροῦσι πᾶσι, καὶ συμπείσεις σεαυτὴν, ὅτι πάντα σοι πάρεσι, πάντα σοι εὖ ἔχει. καὶ παρὰ τῶν θεῶν πάρεσι. καὶ εὖ ἕξει ὅσα φίλον αὐτοῖς, καὶ ὅσα μέλλουσι δώσειν ἐπὶ σωτηρίᾳ τοῦ τελείου ζώου, τοῦ ἀγαθοῦ, καὶ δικαίου, καὶ καλοῦ, καὶ γεννῶντος πάντα καὶ συνέχοντος, καὶ περιέχοντος, καὶ περιλαμβάνοντος, διαλυόμενα εἰς γένεσιν ἑτέρων ὁμοίων. ἔσῃ ποτὲ ἄρα τοιαύτη, οἵα θεοῖς τε καὶ ἀνθρώποις οὕτω

συμπολιτεύεσθαι, ὡς μήτε μέμφεσθαί τι αὐτοῖς, μήτε καταγινώσκεσθαι ὑπ' αὐτῶν; παρατήρει τί σου ἡ φύσις ἐπιζητεῖ, ὡς ὑπὸ φύσεως μόνον διοικουμένου. εἶτα ποίει αὐτὸ καὶ προσίεσο, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαί σου ἡ ὡς ζώου φύσις. ἑξῆς δὲ παρατηρητέον, τί ἐπιζητεῖ σου ἡ ὡς ζώου φύσις. καὶ πᾶν τοῦτο παραληπτέον, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαι, ἡ ὡς ζώου λογικοῦ φύσις. ἔστι δὲ τὸ λογικὸν εὐθὺς καὶ πολιτικόν. τούτοις δὴ κανόσι χρώμενος μηδὲν περιεργάζου. Πᾶν τὸ συμβαῖνον, ἤτοι οὕτως συμβαίνει, ὡς πέφυκας αὐτὸ φέρειν, ἢ ὡς οὐ πέφυκας αὐτὸ φέρειν. εἰ μὲν οὖν συμβαίνει σοι ὡς πέφυκας φέρειν, μὴ δυσχέραινε· ἀλλ' ὡς πέφυκας φέρε. εἰ δὲ ὡς μὴ πέφυκας φέρειν, μὴ δυσχέραινε. φθαρήσεται γάρ σε ἀπαναλῶσαν. μέμνησο μέντοι ὅτι πέφυκας φέρειν πᾶν, περὶ οὗ ἐπὶ τῇ ὑπολήψει ἐστὶ τῇ σῇ φορητὸν καὶ ἀνεκτὸν αὐτὸ ποιῆσαι, κατὰ φαντασίαν τοῦ συμφέρειν ἢ καθήκειν σεαυτῷ τοῦτο ποιεῖν. Εἰ μὲν σφάλλεται, διδάσκειν εὐμενῶς, καὶ τὸ παρορώμενον δεικνύναι. εἰ δὲ ἀδυνατεῖς, σεαυτὸν αἰτιᾶσθαι, ἢ μηδὲ σεαυτόν. Ὅ, τι ἄν σοι συμβαίνῃ, τοῦτό σοι ἐξ αἰῶνος προκατεσκευάζετο, καὶ ἡ ἐπιπλοκὴ τῶν αἰτίων συνέκλωθε, τήν τε σὴν ὑπόστασιν ἐξ ἀϊδίου, καὶ τὴν τούτου σύμβασιν. Εἴτε ἄτομοι, εἴτε φύσεις, πρῶ-

τον

τον κείσθω ὅτι μέρος εἰμὶ τοῦ ὅλου ὑπὸ φύσεως διοικουμένου. ἔπειτα, ὅτι ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη. τούτων γὰρ μεμνημένος, καθότι μὲν μέρος εἰμὶ, οὐδενὶ δυσαρεστήσω τῶν ἐκ τοῦ ὅλου ἀπονεμομένων. οὐδὲν γὰρ βλαβερὸν τῷ μέρει, ὃ τῷ ὅλῳ συμφέρει. οὐ γὰρ ἔχει τί τὸ ὅλον, ὃ μὴ συμφέρει ἑαυτῷ. πασῶν μὲν φύσεων κοινὸν ἐχουσῶν τοῦτο· τῆς δὲ τοῦ κόσμου προσειληφυίας, τὸ μηδὲ ὑπό τινος ἔξωθεν αἰτίας ἀναγκάζεσθαι βλαβερόν τι ἑαυτῇ γεννᾶν. κατὰ μὲν δὴ τὸ μεμνῆσθαι ὅτι μέρος εἰμὶ ὅλου τοῦ τοιούτου, εὐαρεστήσω παντὶ τῷ ἀποβαίνοντι, καθόσον δὲ ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη, οὐδὲν πράξω ἀκοινώνητον· μᾶλλον δὲ στοχάσομαι τῶν ὁμογενῶν, καὶ πρὸς τὸ κοινῇ συμφέρον πᾶσαν ὁρμὴν ἐμαυτοῦ ἄξω, καὶ ἀπὸ τοὐναντίου ἀπάξω. Τούτων δὲ οὕτω περαινομένων, ἀνάγκη τὸν βίον εὐροεῖν· ὡς ἂν καὶ πολίτου βίον εὔρουν ἐπινοήσειας προϊόντος διὰ πράξεων τοῖς πολίταις λυσιτελῶν, καὶ ὅπερ ἂν ἡ πόλις ἀπονέμῃ τοῦτο ἀσπαζομένου. Τοῖς μέρεσι τοῦ ὅλου, ὅσα φημὶ περιέχεται ὑπὸ τοῦ κόσμου, ἀνάγκη φθείρεσθαι. λεγέσθω δὲ τοῦτο σημαντικῶς τοῦ ἀλλοιοῦσθαι. εἰ δὲ φημὶ κακόν τε, καὶ ἀναγκαῖόν ἐστι τοῦτο αὐτοῖς, οὐκ ἂν τὸ ὅλον καλῶς διεξάγοιτο, τῶν μερῶν εἰς ἀλλοτρίωσιν ὄντων, καὶ πρὸς

τὸ φθείρεσθαι διαφόρως κατεσκευασμένων. πότερον γὰρ ἐπεχείρησεν ἡ φύσις αὐτὴ τὰ ἑαυτῆς μέρη κακοῦν, καὶ περιπτωτικὰ τῷ κακῷ, καὶ ἐξ ἀνάγκης ἔμπτωτα εἰς τὸ κακὸν ποιεῖν, ἢ ἔλαθεν αὐτὴν τοιάδε τινὰ γινόμενα; ἀμφότερα γὰρ ἀπίθανα. εἰ δέ τις καὶ ἀφέμενος τῆς φύσεως, κατὰ τὸ πεφυκέναι ταῦτα ἐξηγοῖτο, καὶ ὡς γελοῖον, ἅμα μὲν φάναι πεφυκέναι τὰ μέρη τοῦ ὅλου μεταβάλλειν, ἅμα δὲ ὡς ἐπί τινι τῶν παρὰ φύσιν συμβαίνοντι θαυμάζειν, ἢ δυσχεραίνειν· ἄλλως τε καὶ τῆς διαλύσεως εἰς ταῦτα γινομένης, ἐξ ὧν ἕκαστον συνίσταται. ἤτοι γὰρ σκεδασμὸς στοιχείων ἐξ ὧν συνεκρίθη, ἢ τροπή, τοῦ μὲν στερεμνίου εἰς τὸ γεῶδες· τοῦ δὲ πνευματικοῦ, εἰς τὸ ἀερῶδες. ὥστε καὶ ταῦτα ἀναληφθῆναι εἰς τὸν τοῦ ὅλου λόγον, εἴτε κατὰ περίοδον ἐκπυρουμένου, εἴτε ἀιδίοις ἀμοιβαῖς ἀνανεουμένου. καὶ τὸ στερέμνιον δὲ, καὶ τὸ πνευματικὸν μὴ φαντάζου τὸ ἀπὸ τῆς γενέσεως. πᾶν γὰρ τοῦτο ἐχθὲς, καὶ τρίτην ἡμέραν, ἐκ τῶν σιτίων καὶ ἑλκομένου ἀέρος τὴν ἐπιρροὴν ἔλαβεν. τοῦτο οὖν ὃ ἔλαβε, μεταβάλλει, οὐχ ὃ ἡ μήτηρ ἔτεκεν· ὑπόθου δ' ὅτι ἐκεῖνό σε λίαν προσπλέκει τῷ ἰδίως ποιῷ, οὐδὲν ὄντι οἶμαι πρὸς τὸ νῦν λεγόμενον. Ὀνόματα θέμενος σαυτῷ ταῦτα, ἀγαθός, αἰδήμων, ἀληθής, ἔμφρων, σύμφρων, ὑπέρφρων,

φρων, πρόσεχε μήποτε μετονομάζῃ, καὶ ἀπολλύῃς ταῦτα τὰ ὀνόματα. καὶ ταχέως ἐπάνιε ἐπ' αὐτά. μέμνησο δὲ, ὅτι τὸ μὲν ἔμφρον, ἐβούλετό σοι σημαίνειν τὴν ἐφ' ἕκαστα διαληπτικὴν ἐπίστασιν, καὶ τὸ ἀπαρενθύμητον. τὸ δὲ σύμφρον, τὴν ἑκούσιον ἀπόδεξιν τῶν ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμομένων. τὸ δὲ ὑπέρφρον, τὴν ὑπέρτασιν τοῦ φρονοῦντος μορίου ὑπὲρ λείαν ἢ τραχεῖαν κίνησιν τῆς σαρκὸς, καὶ τὸ δοξάριον, καὶ τὸν θάνατον καὶ ὅσα τοιαῦτα. ἐὰν οὖν διατηρῇς σεαυτὸν ἐν τούτοις τοῖς ὀνόμασι, μὴ γλιχόμενος τοῦ ὑπ' ἄλλων κατὰ ταῦτα ὀνομάζεσθαι, ἔσῃ ἕτερος. καὶ εἰς βίον εἰσελεύσῃ ἕτερον, τὸ γὰρ ἔτι τοιοῦτον εἶναι οἷος μέχρι νῦν γέγονας, καὶ ἐν βίῳ τοιούτῳ σπαράσσεσθαι καὶ μολύνεσθαι, λίαν ἐστὶν ἀναισθήτου καὶ φιλοψύχου, καὶ ὁμοίου τοῖς ἡμιβρώτοις θηριομάχοις· οἵ τινες μεστοὶ τραυμάτων καὶ λύθρου, παρακαλοῦσιν ὅμως εἰς τὴν αὔριον φυλαχθῆναι, παραβληθησόμενοι τοιοῦτοι· τοῖς αὐτοῖς ὄνυξι καὶ δήγμασιν. Ἐμβίβασον οὖν σαυτὸν εἰς τὰ ὀλίγα ταῦτα ὀνόματα. κἂν μὲν ἐπ' αὐτῶν μένειν δύνῃ, μένε ὥσπερ εἰς μακάρων τινὰς νήσους μετῳκισμένος. ἐὰν δὲ αἴσθῃ ὅτι ἐκπίπτεις, καὶ οὐ περικρατεῖς, ἄπιθι θαῤῥῶν εἰς γωνίαν τινὰ, ὅπου κρατήσεις, ἢ καὶ παντάπασιν ἔξιθι τοῦ βίου, μὴ ὀργιζόμενος, ἀλλὰ ἁπλῶς καὶ ἐλευθέρως, καὶ αἰδημόνως.

ἐάν γε τοῦτο μόνον πράξας ἐν τῷ βίῳ, τὸ οὕτως ἐξελθεῖν. Πρὸς μέν τοι τὸ μεμνῆσθαι τῶν ὀνομάτων, μεγάλως; συλλήψεταί σοι, τὸ μεμνῆσθαι θεῶν καὶ ὅτι περ οὐ κολακεύεσθαι οὗτοι θέλουσιν, ἀλλὰ ἐξομοιοῦσθαι ἑαυτοῖς τὰ λογικὰ πάντα. καὶ εἶναι τὴν μὲν συκῆν τὰ συκῆς ποιοῦσαν· τὸν δὲ κύνα, τὰ κυνός. τὴν δὲ μέλισσαν, τὰ μελίσσης. τὸν δὲ ἄνθρωπον, τὰ ἀνθρώπου. Μῖμος πόλεμος, πτοία, νάρκη, δουλεία, καθ᾽ ἡμέραν ἀπαλείψεταί σου τὰ ἱερὰ ἐκεῖνα δόγματα, ὁπόσα ὁ φυσιολογητὸς φαντάζῃ καὶ παραπέμπεις. δεῖ δὲ πᾶν οὕτω βλέπειν καὶ πράσσειν, ὥστε καὶ τὸ περιστατικὸν ἅμα συντελεῖσθαι, καὶ ἅμα τὸ θεωρητικὸν ἐνεργεῖσθαι. καὶ τὸ ἐκ τῆς περὶ ἑκάστων ἐπιστήμης αὔθαδες σώζεσθαι λανθάνον, οὐχὶ κρυπτόμενον. πότε γὰρ ἁπλότητος ἀπολαύσεις, πότε δὲ σεμνότητος, πότε δὲ τῆς ἐφ᾽ ἑκάστου γνωρίσεως, τί τέ ἐστι κατ᾽ οὐσίαν καὶ τίνα χώραν ἔχει ἐν τῷ κόσμῳ, καὶ ἐπὶ πόσον πέφυκεν ὑφίστασθαι καὶ ἐκ τινῶν συγκέκριται, καὶ τίσι δύναται ὑπάρχειν, καὶ τίνες δύνανται αὐτὸ διδόναι τε καὶ ἀφαιρεῖσθαι. ἀράχνιον μυῖαν θηράσαν μεγαφρονεῖ, ἄλλος δὲ λαγίδιον, ἄλλος δὲ ὑποχῇ ἀφύην, ἄλλος δὲ σιΐδια· ἄλλος δὲ ἄρκτους· ἄλλος Σαρμάτας. οὗτοι γὰρ οὐ λῃσταί; ἐὰν τὰ δόγματα ἐξετάζῃς. πῶς εἰς ἄλληλα πάντα μεταβάλλει, θεωρητικὴν μέθοδον κτῆσαι. καὶ διηνεκῶς πρόσεχε, καὶ

συγγυμνά

συγγυμνάσθητι περὶ τοῦτο τὸ μέρος. οὐδὲν γὰρ οὕτω μεγαλοφροσύνης ποιητικόν. ἐξεδύσατο τὸ σῶμα. καὶ ἐννοήσας, ὅτι ὅσον οὐδέπω πάντα ταῦτα καταλιπεῖν ἀπιόντα ἐξ ἀνθρώπων δεήσει, ἀνῆκεν ὅλον ἑαυτὸν, δικαιοσύνῃ μὲν εἰς τὰ ὑφ᾽ ἑαυτοῦ ἐνεργούμενα, ἐν δὲ τοῖς ἄλλοις συμβαίνουσι, τῇ τῶν ὅλων φύσει. τί δ᾽ ἐρεῖ τις ἢ ὑπολήψεται περὶ αὐτοῦ, ἢ πράξει κατ᾽ αὐτοῦ, οὐδ᾽ εἰς νοῦν βάλλεται. δύο τούτοις ἀρκούμενος αὐτὸς, δικαιοπραγεῖν τὸ νῦν πρασσόμενον, καὶ φιλεῖν τὸ νῦν ἀπονεμόμενον ἑαυτῷ. ἀσχολίας δὲ πάσας καὶ σπουδὰς ἀφῆκεν. καὶ οὐδὲν ἄλλο βούλεται, ἢ εὐθεῖαν περαίνειν διὰ τοῦ νόμου, καὶ εὐθεῖαν περαίνοντι ἕπεσθαι τῷ θεῷ. Τίς ὑπονοίας χρεία, παρὸν σκοπεῖν τί δεῖ πραχθῆναι. κἂν μὲν συνορᾷς εὐμενῶς, ἀμεταστρεπτὶ ταύτῃ χωρεῖν. ἐὰν δὲ μὴ συνορᾷς, ἐπέχειν, καὶ συμβούλοις τοῖς ἀρίστοις χρῆσθαι. ἐὰν δὲ ἕτερά τινα πρὸς ταῦτα ἀντιβαίνῃ, προϊέναι κατὰ τὰς παρούσας ἀφορμὰς λελογισμένως, ἐχόμενον τοῦ φαινομένου δικαίου. ἄριστον γὰρ κατατυγχάνειν τούτου. ἐπεί τοι ἥγε ἀπόπτωσις ἀπὸ τούτου. ἔστω, σχολαῖόν τι καὶ ἅμα εὐκίνητόν ἐστι, καὶ φαιδρὸν ἅμα, καὶ συνεστηκὸς ὁ τῷ λόγῳ κατὰ πᾶν ἑπόμενος. Πυνθάνεσθαι ἑαυτοῦ, εὐθὺς ἐξ ὕπνου γινόμενος, μήτι διοίσει σοι,

ἐὰν

ἐὰν ὑπὸ ἄλλου γίνηται τὰ δίκαια καὶ καλῶς ἔχοντα; οὐ διοίσει. μήτι ἐπιλέληθαι, ὅτι οὗτοι οἱ ἐν τοῖς περὶ ἄλλων ἐπαίνοις καὶ ψόγοις φρυαττόμενοι, τοιοῦτοι μὲν ἐπὶ τῆς κλίνης εἰσὶ, τοιοῦτοι δὲ ἐπὶ τῆς τραπέζης, οἷα δὲ ποιοῦσιν, οἷα δὲ φεύγουσιν, οἷα δὲ διώκουσιν, οἷα δὲ κλέπτουσιν, οἷα δὲ ἁρπάζουσιν, οὐ χερσὶ καὶ ποσὶν, ἀλλὰ τῷ τιμιωτάτῳ ἑαυτῶν μέρει, ᾧ γίνεται ὅταν θέλῃ, πίστις, αἰδὼς, ἀλήθεια, νόμος, ἀγαθὸς δαίμων. Τῇ πάντα διδούσῃ καὶ ἀπολαμβανούσῃ φύσει, ὁ πεπαιδευμένος καὶ αἰδήμων λέγει· δὸς ὃ θέλεις, ἀπόλαβε ὃ θέλεις. λέγει δὲ τοῦτο οὐ καταθρασυνόμενος, ἀλλὰ πειθαρχῶν μόνον καὶ εὐνοῶν αὐτῇ. ὀλίγον ἐστὶ τὸ ὑπολειπόμενον τοῦτο. ζῆσον ὡς ἐν ὄρει. οὐδὲν γὰρ διαφέρει ἐκεῖ ἢ ὧδε ἐάν τις πανταχοῦ ὡς ἐν πόλει τῷ κόσμῳ. ἰδέτωσαν, ἱστορησάτωσαν οἱ ἄνθρωποι, ἄνθρωπον ἀληθινὸν κατὰ φύσιν ζῶντα. εἰ μὴ φέρουσιν, ἀποκτεινάτωσαν. κρεῖττον γὰρ ἢ οὕτω ζῆν. Μηκέτι ὅλως περὶ τοῦ οἷόν τινα εἶναι τὸν ἀγαθὸν ἄνδρα διαλέγεσθαι. ἀλλὰ εἶναι τοιοῦτον. Τοῦ ὅλου αἰῶνος, καὶ τῆς ὅλης οὐσίας συνεχῶς φαντασία. καὶ ὅτι πάντα τὰ κατὰ μέρος, ὡς μὲν πρὸς οὐσίαν κεγχραμίς· ὡς δὲ πρὸς χρόνον, τρυπάνου περιστροφή. Εἰς ἕκαστον τῶν ὑποκειμένων ἐφιστάντα, ἐπινοεῖν αὐτὸ ἤδη διαλυόμενον,

νον, καὶ ἐν μεταβολῇ καὶ οἷον σήψει ἢ σκεδάσει γινόμενον: ἢ καθότι ἕκαστον πέφυκεν ὥσπερ θνήσκειν. Οἷοί εἰσιν, ἐσθίοντες, καθεύδοντες, ὀχεύοντες, ἀποπατοῦντες, τὰ ἄλλα, εἶτα οἷοι ἀνδρονομούμενοι, καὶ γαυρούμενοι, ἢ χαλεπαίνοντες, καὶ ἐξ ὑπεροχῆς ἐπιπλήττοντες· πρὸ ὀλίγου δὲ ἐδούλευον πόσοις, καὶ δι' οἷα: καὶ μετ' ὀλίγον, ἐν τοιούτοις ἔσονται. Συμφέρει ἑκάστῳ, ὃ φέρει ἑκάστῳ ἡ τῶν ὅλων φύσις. καὶ τότε συμφέρει, ὅτε ἐκείνη φέρει. ἐρᾷ μὲν ὄμβρου γαῖα· ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ· ἐρᾷ δὲ ὁ κόσμος ποιῆσαι ὃ ἂν μέλλῃ γίνεσθαι. λέγω οὖν τῷ κόσμῳ ὅτι σοὶ συνερῶ. μήτι δ' οὕτω κἀκεῖνο γίνεται καὶ λέγεται, ὅτι φιλεῖ τοῦτο γίνεσθαι. ἤτοι ἐνταῦθα ζῇς, καὶ ἤδη εἴθικας, ἢ ἔξω ὑπάγεις, καὶ τοῦτο ἤθελες. ἢ ἀποθνήσκεις, καὶ ἀπελειτούργησας. παρὰ δὲ ταῦτα οὐδέν. οὐκοῦν εὐθύμει. ἐναργὲς ἔστω ἀεί, τὸ ὅτι τοιοῦτο ἐκεῖνο ὁ ἀγρός ἐστι. καὶ πῶς πάντα ἐστὶ ταυτὰ ἐνθάδε τοῖς ἐν ἄκρῳ τῷ ὄρει, ἢ ἐπὶ τοῦ αἰγιαλοῦ, ἢ ὅπου θέλεις. ἄντικρυς γὰρ εὑρήσεις τὰ τοῦ Πλάτωνος, σηκὸν ἐν ὄρει φησὶ περιβαλλόμενος, καὶ βάλλειν βλήματα. Τί ἐστί μοι τὸ ἡγεμονικόν μου. καὶ ποῖόν τι ἐγὼ αὐτὸ ποιῶ νῦν, καὶ πρὸς τί ποτε αὐτῷ νῦν χρῶμαι; μήτι κενὸν νοῦ ἐστι; μήτι ἀπόλυτον καὶ ἀπεσπασμένον κοινωνίας; μήτι προστετηκὸς καὶ ἀνακε-

ὅλην Φιλίππου, Ἀλεξάνδρου, Κροίσου, πάντα γὰρ ἐκεῖνα τοιαῦτα ἦν. μόνον δι' ἑτέρων φαντάζου πάντα τὸν ἐφ' ὡτινιοῦν λυπούμενον, ἢ δυσαρεστοῦντα, ὅμοιον τῷ θυομένῳ χοιριδίῳ, καὶ ἀπολακτίζοντι καὶ κεκραγότι. ὅμοιον καὶ ὁ οἰμώζων ἐπὶ τοῦ κλινιδίου μόνος σιωπῇ τὴν ἔνδεσιν ἡμῶν, καὶ ὅτι μόνῳ τῷ λογικῷ ζῴῳ δέδοται, τὸ ἑκουσίως ἕπεσθαι τοῖς γινομένοις. τὸ δὲ ἕπεσθαι ψιλὸν πᾶσιν ἀναγκαῖον. κατὰ μέρος ἐφ' ἑκάστου ὧν ποιεῖς ἐφιστάμενος, ἐρώτα σεαυτόν, εἰ ὁ θάνατος δεινὸν διὰ τὸ τούτου στέρεσθαι. Ὅταν προσκόπτῃς ἐπί τινος ἁμαρτίᾳ, εὐθὺς μεταβὰς ἐπιλογίζου τί παρόμοιον ἁμαρτάνεις. οἷον ἀργύριον ἀγαθὸν εἶναι κρίνων, τὴν ἡδονήν, ἢ τὸ δοξάριον. καὶ κατ' εἶδος. τούτῳ γὰρ ἐπιβάλλων ταχέως ἐπιλήσῃ τῆς ὀργῆς, συμπίπτοντος τοῦ ὅτι βιάζεται. τί γὰρ ποιήσει; ἢ εἰ δύνασαι, ἄφελε αὐτοῦ τὸ βιαζόμενον. Σατύρωνα ἰδών, Σωκρατικὸν φαντάζου ἢ Εὐτυχῆ, ἢ Ὑμένα. καὶ Εὐφράτην ἰδών, Εὐτυχίωνα, ἢ Σιλουανὸν φαντάζου. καὶ Ἀλκίφρονα, Τροπαιοφόρον φαντάζου. καὶ Ξενοφῶντα ἰδών, Κρίτωνα ἢ Σεβῆρον φαντάζου. καὶ εἰς ἑαυτὸν ἀπιδὼν τῶν Καισάρων τινὰ φαντάζου, καὶ ἐφ' ἑκάστου τὸ ἀνάλογον. εἶτα συμπροσπιπτέτω σοι. ποῦ οὖν ἐκεῖνοι; οὐδαμοῦ, ἢ ὁπουδή. οὕτως γὰρ συνεχῶς θεάσῃ τὰ ἀνθρώπινα, καπνόν, καὶ τὸ μηδέν. μάλιστα ἐὰν συμμνημονεύσῃς, ὅτι τὸ

ἅπαξ

ἅπαξ μεταβαλὸν οὐκέτι ἔσται ἐν τῷ ἀπείρῳ χρόνῳ. σὺ οὖν ἐν τίνι; τί δ᾽ οὐκ ἀρκεῖ σοι τὸ βραχὺ τοῦτο κοσμίως διαπεράσαι; οἵαν ὕλην καὶ ὑπόθεσιν φεύγεις; τί γάρ ἐστι πάντα ταῦτα ἄλλο, πλὴν γυμνάσματα λόγου ἑωρακότος ἀκριβῶς καὶ φυσιολόγως τὰ ἐν τῷ βίῳ; μένε οὖν, μέχρι ἐξοικειώσῃς σαυτῷ καὶ ταῦτα· ὡς ἐῤῥωμένος στόμαχος πάντα ἐξοικειοῖ, ὡς τὸ λαμπρὸν πῦρ, ὅτι ἂν βάλῃς, φλόγα ἐξ αὐτοῦ καὶ αὐγὴν ποιεῖ. Μηδενὶ ἐξέστω εἰπεῖν ἀληθεύοντι περὶ σοῦ, ὅτι οὐχ ἁπλοῦς, ἢ ὅτι οὐκ ἀγαθός· ἀλλὰ ψευδέσθω, ὅστις τούτων τι περὶ σοῦ ὑπολήψεται. πᾶν δὲ τοῦτο ἐπὶ σοί. τίς γὰρ ὁ κωλύων ἀγαθὸν εἶναι καὶ ἁπλοῦν; σὺ μόνον κρῖνον μηκέτι ζῆν, εἰ μὴ τοιοῦτος ἔσῃ. οὐδὲ γὰρ αἱρεῖ λόγος μὴ τοιοῦτον ὄντα. Τί ἐστι τὸ ἐπὶ ταύτης τῆς ὕλης δυνάμενον κατὰ τὸ ὑγιέστατον πραχθῆναι, ἢ ῥηθῆναι; ὅτι γὰρ ἂν τοῦτο ᾖ, ἔξεστιν αὐτὸ πρᾶξαι ἢ εἰπεῖν. καὶ μὴ προφασίζου, ὡς κωλυόμενος. οὐ πρότερον παύσῃ στένων, πρὶν ἢ τοῦτο πάθῃς. Ὅτι οἷόν ἐστι τοῖς ἡδυπαθοῦσιν ἡ τρυφή, τοῦτό σοι τὸ ἐπὶ τῆς ὑποβαλλομένης καὶ ὑποπιπτούσης ὕλης ποιεῖν τὰ οἰκεῖα τῇ τοῦ ἀνθρώπου κατασκευῇ. ἀπόλαυσιν γὰρ δεῖ ὑπολαμβάνειν, πᾶν ὃ ἔξεστι κατὰ τὴν ἰδίαν φύσιν ἐνεργεῖν. πανταχοῦ δὲ ἔξεστι. τῷ μὲν οὖν κυλίνδρῳ, οὐ πανταχοῦ δίδοται

φέρεσθαι

φέρεσθαι τὴν ἰδίαν κίνησιν· οὐδὲ τῷ ὕδατι, οὐδὲ πυρὶ, οὐδὲ τοῖς ἄλλοις ὅσα ὑπὸ φύσεως ἢ ψυχῆς ἀλόγου διοικεῖται· τὰ γὰρ διείργοντα καὶ ἐνιστάμενα πολλά. Νοῦς δὲ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕτως πορεύεσθαι δύναται, ὡς πέφυκε, καὶ ὡς θέλει. ταύτην τὴν ῥαστώνην πρὸ ὀμμάτων τιθέμενος καθ' ἣν ἐνεχθήσεται ὁ λόγος διὰ πάντων. ὡς πῦρ ἄνω, ὡς λίθος κάτω, ὡς κύλινδρος κατὰ πρανοῦς, μηκέτι μηδὲν ἐπιζήτει. τὰ γὰρ λοιπὰ ἐγκόμματα ἤτοι τοῦ σωματίου ἐστὶ τοῦ νεκροῦ, ἢ χωρὶς ὑπολήψεως, καὶ τῆς αὐτοῦ τοῦ λόγου ἐνδόσεως, οὐ θραύει, οὐδὲ ποιεῖ κακὸν οὐδ' ὁτιοῦν· ἐπεί τοι ὁ πάσχων αὐτὸ, κακὸς ἂν εὐθὺς ἐγίνετο. ἐπὶ γοῦν τῶν ἄλλων κατασκευασμάτων πάντων ὅ τι ἂν κακόν τινι αὐτῶν συμβῇ, παρὰ τοῦτο χεῖρον γίνεται αὐτὸ τὸ πάσχον· ἐνταῦθα δὲ εἰ δεῖ εἰπεῖν, καὶ κρείττων γίνεται ὁ ἄνθρωπος, καὶ ἐπαινετώτερος, ὀρθῶς χρώμενος τοῖς προσπίπτουσιν. ὅλως δὲ μέμνησο, ὅτι τὸν φύσει πολίτην οὐδὲν βλάπτει, ὃ πόλιν οὐ βλάπτει· οὐδέ γε πόλιν βλάπτει, ὃ νόμον οὐ βλάπτει· τούτων δὲ τῶν καλουμένων ἀκληρημάτων οὐδὲν βλάπτει νόμον. ὃ τοίνυν νόμον οὐ βλάπτει, οὔτε πόλιν, οὔτε πολίτην. Τῷ δεδηγμένῳ ὑπὸ τῶν ἀληθῶν δογμάτων, ἀρκεῖ καὶ τὸ βραχύτατον, καὶ ἐν μέσῳ κείμενον

εἰς ὑπόμνησιν ἀλυπίας καὶ ἀφοβίας. οἷον, φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη· ὣς ἀνδρῶν γενεή, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.

Φυλλάριον δὲ καὶ τὰ τεκνία σου· φυλλάρια δὲ καὶ ταῦτα τὰ ἐπιβοῶντα ἀξιοπίστως, καὶ ἐπιφημοῦντα· ἢ ἐκ τῶν ἐναντίων καταρώμενα, ἢ ἡσυχῇ ψέγοντα, καὶ χλευάζοντα. φυλλάρια δὲ ὁμοίως, καὶ τὰ διαδεξόμενα τὴν ὑστεροφημίαν. πάντα γὰρ ταῦτα ἔαρος ἐπιγίνεται ὥρῃ, εἶτα ἄνεμος καταβέβληκεν, ἔπειθ' ἡ ὕλη ἕτερα ἀντὶ τούτων φύει. τὸ δὲ ὀλιγοχρόνιον κοινὸν πᾶσιν· ἀλλὰ σὺ πάντα ὡς αἰώνια ἐσόμενα φεύγεις, καὶ διώκεις, μικρὸν καὶ καταμύσεις. τὸν δὲ ἐξενεγκόντα σε ἤδη, ἄλλος θρηνήσει. Τὸν ὑγιαίνοντα ὀφθαλμὸν πάντα ὁρᾶν δεῖ τὰ ὁρατά, καὶ μὴ λέγειν, τὰ χλωρὰ θέλω· τοῦτο γὰρ ὀφθαλμιῶντός ἐστι. καὶ τὴν ὑγιαίνουσαν ἀκοὴν, καὶ ὄσφρησιν εἰς πάντα δεῖ τὰ ἀκουστὰ καὶ ὀσφραντὰ ἑτοίμην εἶναι. καὶ τὸν ὑγιαίνοντα στόμαχον πρὸς πάντα τρόφιμα ὁμοίως ἔχειν. ὡς μύλην πρὸς πάντα ὅσα ἀλέσουσα κατεσκεύασται. καὶ τοίνυν τὴν ὑγιαίνουσαν διάνοιαν πρὸς πάντα δεῖ τὰ συμβαίνοντα ἑτοίμην εἶναι. ἡ δὲ λέγουσα τὰ τεκνία σωζέσθω, καὶ πάντες ὅ, τι ἂν πράξω ἐπαινείτωσαν, ὀφθαλμός ἐστι τὰ χλωρὰ ζητῶν, ἢ ὀδόντες τὰ ἁπαλά. οὐδείς ἐστιν οὕτως εὔποτμος ᾧ ἀποθνήσκοντι οὐ παρεστήξονταί τινες

ἀσπαζόμενοι τὸ συμβαῖνον κακόν. σπουδαῖος καὶ σοφὸς ἦν, μὴ τὸ πανύστατον ἔσται τις ὁ καθ' αὑτὸν λέγων, ἀναπνεύσομέν ποτε ἀπὸ τούτου τοῦ παιδαγωγοῦ. χαλεπὸς μὲν οὐδενὶ ἡμῶν ἦν· ἀλλὰ ᾐσθανόμην ὅτι ἡσυχῇ καταγινώσκει ἡμῶν. ταῦτα μὲν οὖν ἐπὶ τοῦ σπουδαίου. ἐφ' ἡμῶν δὲ πόσα ἄλλα ἐστὶ δι' ἃ πολύς ὁ ἀπαλλακτιῶν ἡμῶν. τοῦτο οὖν ἐννοήσεις ἀποθνήσκων, καὶ εὐκολώτερον ἐξελεύσῃ, λογιζόμενος, ἐκ τοιούτου βίου ἀπέρχομαι, ἐν ᾧ αὐτοὶ οἱ κοινωνοὶ, ὑπὲρ ὧν τὰ τοσαῦτα ἠγωνισάμην, ηὐξάμην, ἐφρόντισα, αὐτοὶ ἐκεῖνοι ἐθέλουσί με ὑπάγειν, ἄλλην τινὰ τυχὸν ἐκ τούτου ῥαστώνην ἐλπίζοντες. τί ἂν οὖν τις ἀντέχοιτο τῆς ἐνταῦθα μακροτέρας διατριβῆς. Μὴ μέντοι διὰ τοῦτο ἔλαττον εὐμενὴς αὐτοῖς ἄπιθι, ἀλλὰ τὸ ἴδιον ἔθος διασώζων, φίλος, καὶ εὔνους, καὶ ἵλεως, καὶ μὴ πάλιν ὡς ἀποσπώμενος. ἀλλ' ὥσπερ ἐπὶ τοῦ εὐθανατοῦντος, εὐκόλως τὸ ψυχάριον ἀπὸ τοῦ σώματος ἐξειλεῖται, τοιαύτην καὶ τὴν ἀπὸ τούτων ἀποχώρησιν δεῖ γενέσθαι. καὶ γὰρ τούτοις ἡ φύσις συνῆψε, καὶ συνέκρινεν. ἀλλὰ νῦν διαλύει; διαλύομαι, ὡς ἀπὸ οἰκείων μὲν, οὐ μὴν ἀνθελκόμενος, ἀλλ' ἀβιάστως. ἓν γὰρ καὶ τοῦτο τῶν κατὰ φύσιν. Ἔθιζον ἐπὶ παντὸς ὡς οἷόν τε τοῦ πρασσομένου ὑπό τινος, ἐπιζητεῖν κατὰ σαυτὸν, οὗτος τοῦτο, ἐπὶ τίνα φέρει. ἄρχου δὲ ἀπὸ

σαυτοῦ, καὶ σεαυτὸν πρὸς τοῦτο ἐξέταζε. Μέμνησο ὅτι τὸ νευροσπαστοῦν ἐστιν ἐκεῖνο, τὸ ἔνδον ἐγκεκρυμμένον· ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωή, ἐκεῖνο, εἰ δεῖ εἰπεῖν, ἄνθρωπος. μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειῶδες, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. ὅμοια γάρ ἐστι σκεπάρνῳ. μόνον δὲ διαφέροντα, καθότι προσφυῆ ἐστιν· ἐπεί τοι οὐ μᾶλλόν τι τούτων ὄφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντείᾳ, καὶ τοῦ καλάμου τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον ια΄.

ΤΑ' ἴδια τῆς λογικῆς ψυχῆς· ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν ὁποίαν ἂν βούληται ποιεῖ, τὸν καρπὸν ὃν φέρει αὐτὴ καρποῦται (τοὺς μὲν τῶν φυτῶν καρποὺς, καὶ τὸ ἀνάλογον ἐπὶ τῶν ζώων ἄλλοι καρποῦνται) τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐπιστῇ. οὐχ ὥσπερ ἐπὶ ὀρχήσεως καὶ

ὑπο-

ὑποκρίσεως καὶ τῆς τοιαύτης ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις ἐάν τι ἐγκόψῃ. ἀλλ' ἐπὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλήρες καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, ἐγὼ ἀπέχω τὰ ἐμά. ἔτι δὲ περιέρχεται τὸν ὅλον κόσμον, καὶ τὸ περὶ αὐτὸν κενόν, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ εἰς τὴν ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεται, καὶ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνει, καὶ περινοεῖ, καὶ θεωρεῖ. ὅτι οὐδὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, οὐδὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντούτης, ἐὰν νοῦν ὁποσονοῦν ἔχῃ, πάντα τὰ γεγονότα, καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδές. ἴδιον δὲ λογικῆς ψυχῆς, καὶ τὸ φιλεῖν τὸν πλησίον, καὶ ἀλήθεια, καὶ αἰδώς, καὶ τὸ μηδὲν ἑαυτῆς προτιμᾶν, ὅπερ ἴδιον καὶ νόμου, οὕτως ἄρα οὐδὲν διήνεγκε λόγος ὀρθὸς, καὶ λόγος δικαιοσύνης· ᾠδῆς ἐπιτερποῦς, καὶ ὀρχήσεως, καὶ παγκρατίου καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτοῦ εἰ τούτου ἥττων εἶ. διατραπήσῃ γάρ. ἐπὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποιήσας καθ' ἑκάστην κίνησιν ἢ σχέσιν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ παγκρατίου. ὅλως δ' οὖν χωρὶς ἀρετῆς, καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ἐπὶ τὰ κατὰ μέρος ἵεσθαι. καὶ

τῇ διαιρέσει αὐτῆς εἰς καταφρόνησιν ἰέναι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τὸν βίον ὅλον μετάφερε. οἵα ἐστὶν ἡ ψυχὴ ἡ ἕτοιμος, ἐὰν ἤδη ἀπολυθῆναι δέῃ τοῦ σώματος· καὶ ἤτοι σβεσθῆναι, ἢ σκεδασθῆναι, ἢ συμμεῖναι. τὸ δὲ ἕτοιμον τοῦτο, ἵνα ἀπὸ ἰδικῆς κρίσεως ἔρχηται, μὴ κατὰ ψιλὴν παράταξιν ὡς οἱ Χριστιανοί, ἀλλὰ λελογισμένως, καὶ σεμνῶς. καὶ ὥστε καὶ ἄλλον πεῖσαι ἀτραγῴδως· πεποίηκά τι κοινωνικῶς· οὐκοῦν ὠφέλημαι. τοῦτο ἵνα ἀεὶ πρόχειρον ἀπαντᾷ· καὶ μηδαμοῦ παύου. Τίς σου ἡ τέχνη; ἀγαθὸν εἶναι. τοῦτο δὲ πῶς καλῶς γίνεται, ἢ ἐκ θεωρημάτων, τῶν μὲν, περὶ τῆς τοῦ ὅλου φύσεως, τῶν δὲ περὶ τῆς ἰδίας τοῦ ἀνθρώπου κατασκευῆς. πρῶτον αἱ τραγῳδίαι παρήχθησαν ὑπομνηστικαὶ τῶν συμβαινόντων, καὶ ὅτι ταῦτα οὕτω πέφυκε γίνεσθαι. καὶ ὅτι οἷς ἐπὶ τῆς σκηνῆς ψυχαγωγεῖσθε, τούτοις μὴ ἄχθεσθε ἐπὶ τῆς μείζονος σκηνῆς. ὁρᾶτε γὰρ, ὅτι οὕτω δεῖ ταῦτα περαίνεσθαι. καὶ ὅτι φέρουσιν αὐτὰ καὶ οἱ κεκραγότες· Ἰὼ Κιθαιρών. καὶ λέγεται δέ τινα ὑπὸ τῶν τὰ δράματα ποιούντων χρησίμως. οἷόν ἐστιν ἐκεῖνο μάλιστα·

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ.
Ἔχει λόγον καὶ τοῦτο.
Καὶ πάλιν,
Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμέεσθαι καὶ
Βίου θερίζειν ὥστε κάρπιμον στάχυν.
Καὶ ὅσα τοιαῦτα.

Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία παρήχθη, παιδαγωγικὴν παρρησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυρρημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ παρελάμβανε. μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρὸς τί ποτε παρείληπται, ἣ κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπερρύη ἐπίστησον· ὅτι μὲν γὰρ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖται. ἀλλὰ ἡ ὅλη ἐπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκοπὸν ἀπέβλεψε; πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ἐπιτήδειον, ὡς ταύτην ἐν ᾗ νῦν ὢν τυγχάνεις. Κλάδος τοῦ προσεχοῦς κλάδου ἀποκοπεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀποκεκόφθαι. οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀνθρώπου ἀποσχισθεὶς ὅλης τῆς κοινωνίας ἀποπέπτωκε. κλάδον μὲν οὖν ἄλλος ἀποκόπτει, ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χωρίζει, μισήσας καὶ ἀποστραφεὶς, ἀγνοεῖ δὲ ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀποτέτμηκεν ἑαυτόν. πλὴν ἐκεῖνό γε δῶρον τοῦ συστησαμένου τὴν κοινωνίαν Διός. ἔξεστι γὰρ πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γίνεσθαι. πλεονάκις μέντοι γινόμενον τὸ κατὰ τὴν τοιαύτην διαί-

ρισιν, δυσένωτον καὶ δυσαποκαθίστατον προχωροῦν ποιεῖ. ὅλως τε οὐχ ὅμοιος ὁ κλάδος ὁ ἀπ' ἀρχῆς συμβλαστήσας, καὶ σύμπνους συμμείνας τῷ μετὰ τὴν ἀποκοπὴν αὖθις ἐγκεντρισθέντι. ὅ, τί ποτε λέγουσι οἱ φυτουργοὶ, ὁμοθαμνεῖν μὲν, μὴ ὁμοδογματεῖν δέ. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποστρέψαι σε οὐ δυνήσονται, οὕτως μηδὲ τῆς πρὸς αὐτοὺς εὐμενείας ἐκκρουέτωσαν· ἀλλὰ φύλασσε ἑαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως. μὴ μόνον ἐπὶ τῆς εὐσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς τοὺς κωλύειν ἐπιχειροῦντας, ἢ ἄλλως δυσχεραίνοντας πρᾳότητος. καὶ γὰρ τοῦτο ἀσθενὲς, τὸ χαλεπαίνειν αὐτοῖς ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως, καὶ ἐνδοῦναι καταπλαγέντα· ἀμφότεροι γὰρ ἐπίσης λιποτάκται, ὁ μὲν ὑποτρέσας, ὁ δὲ ἀλλοτριωθεὶς πρὸς τὸν φύσει συγγενῆ καὶ φίλον. Οὐκ ἔστι χείρων οὐδεμία φύσις τέχνης. καὶ γὰρ αἱ τέχναι τὰς φύσεις μιμοῦνται. εἰ δὲ τοῦτο, ἡ πασῶν τῶν ἄλλων τελειοτάτη καὶ περιληπτικωτάτη φύσις, οὐκ ἂν ἀπολείποιτο τῆς τεχνικῆς εὐμηχανίας. πᾶσαι δέ γε τέχναι τῶν κρειττόνων ἕνεκεν τὰ χείρω ποιοῦσιν· οὐκοῦν καὶ ἡ κοινὴ φύσις. καὶ δὴ ἔνθεν μὲν γένεσις δικαιοσύνης, ἀπὸ δὲ ταύτης αἱ λοιπαὶ ἀρεταὶ ὑφίστανται. οὐ γὰρ τηρηθήσεται

διάκειται τὸ δίκαιον, ἐὰν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ εὐεξαπάτητοι καὶ προπτωτικοὶ καὶ μεταπτωτικοὶ ὦμεν. Εἰ οὐκ ἔρχεται ἐπὶ σε τὰ πράγματα ὧν αἱ διώξεις καὶ φυγαὶ θορυβοῦσί σε. ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ᾽ ἐκεῖνα ἔρχῃ. τὸ γοῦν κρίμα τὸ περὶ αὐτῶν, ἡσυχαζέτω, κἀκεῖνα μενεῖ ἀτρεμοῦντα, καὶ οὔτε διώκων οὔτε φεύγων ὀφθήσῃ. σφαῖρα ψυχῆς αὐτοειδής, ὅταν μήτε ἐκτείνηται ἐπί τι, μήτε ἔσω συντρέχῃ, μήτε συνιζάνῃ. ἀλλὰ φωτὶ λάμπηται, ᾧ τὴν ἀλήθειαν ὁρᾷ τὴν πάντων, καὶ τὴν ἐν αὐτῇ.

Καταφρονήσει μού τις; ὄψεται. ἐγὼ δὲ ὄψομαι, ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων εὑρίσκωμαι. μισήσει; ὄψεται. ἀλλὰ ἐγὼ εὐμενὴς καὶ εὔνους παντί, καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐκ ὀνειδιστικῶς, οὐδὲ ὡς κατεπιδεικνύμενος ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρηστῶς, οἷος ὁ Φωκίων ἐκεῖνος, εἴ γε μὴ προσεποιεῖτο. τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, καὶ ὑπὸ τῶν θεῶν βλέπεσθαι ἄνθρωπον πρὸς μηδὲν ἀγανακτικῶς διατιθέμενον, μηδὲ δεινοπαθοῦντα. τί γάρ σοι κακὸν εἰ αὐτὸς νῦν ποιεῖ τὸ ἤδη τῇ φύσει σου οἰκεῖον, οὐ δέχῃ τὸ νῦν τῇ τῶν ὅλων φύσει εὔκαιρον, ἄνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι᾽ ὅτου δὴ τὸ κοινῇ συμφέρον; ἀλλήλων καταφρονοῦν-

τῶν, ἀλλήλοις ἀρεσκεύοντες, καὶ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται. Ὡς σαπρὸς καὶ κίβδηλος ὁ λέγων, ἐγὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθαι. τί ποιεῖς ἄνθρωπε; τοῦτο οὐ δεῖ προλέγειν. αὐτὸ φανήσεται· ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει· εὐθὺς ἡ φωνὴ τοιοῦτον ἠχεῖ, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τῶν ἐραστῶν ἐν τῷ βλέμματι πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος, τοιοῦτον ὅλως δεῖ τὸν ἁπλοῦν καὶ ἀγαθὸν εἶναι, οἷον γράσωνα. ἵνα ὁ παραστὰς, ἅμα τῷ προσελθεῖν θέλει οὐ θέλει αἴσθηται. ἐπιτήδευσις δὲ ἁπλότητος σκάλμη ἐστίν. οὐδὲν ἐστὶν αἴσχιον λυκοφιλίας. πάντων μάλιστα τοῦτο φεῦγε, ὁ ἀγαθὸς, ὁ ἁπλοῦς, καὶ εὐμενὴς, ἐν τοῖς ὄμμασιν ἔχουσι ταῦτα. καὶ οὐ λανθάνει. κάλλιστα δὲ ζῆν, δύναμις αὕτη ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιάφορα ἀδιαφορῇ, ἀδιαφορήσει δὲ, ἐὰν ἕκαστον αὐτῶν θεωρῇ διῃρημένως καὶ ὁλικῶς, καὶ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτῶν ἡμῖν ἐμποιεῖ, οὐδὲ ἔρχεται ἐφ' ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ· ἡμεῖς δὲ ἐσμὲν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες καὶ οἷον γράφοντες ἑαυτοῖς, ἐξὸν μὲν μὴ γράφειν. ἐξὸν δὲ κἄν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι. ὅτι ὀλίγου χρόνου ἔσται ἡ τοιαύτη προσοχή. καὶ λοιπὸν πεπαύσεται ὁ βίος. Τί μέντοι δύσκολον καλῶς ἔχειν ταῦτα; εἰ μὲν γὰρ κατὰ φύσιν ἐστὶ, χαῖρε αὐτοῖς.

καὶ

καὶ ῥᾴδια ἔστω σοι· εἰ δὲ παρὰ φύσιν, ζήτει τί ἐστι σοι κατὰ τὴν σὴν φύσιν, καὶ ἐπὶ τοῦτο σπεῦδε, κἂν ἄδοξον ᾖ. παντὶ γὰρ συγγνώμη τὸ ἴδιον ἀγαθὸν ζητοῦντι. Πόθεν ἐλήλυθεν ἕκαστον, καὶ ἐκ τίνων ἕκαστον ὑποκειμένων, καὶ εἰς τί μεταβάλλει, καὶ οἷον ἔσται μεταβάλλον, καὶ ὡς οὐδὲν κακὸν πείσεται. καὶ πρῶτον, τίς ἡ πρὸς αὐτοὺς μοι σχέσις. καὶ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν. Καὶ καθ' ἕτερον λόγον, προστησόμενος αὐτῶν γέγονα, ὡς κριὸς ποίμνης, ἢ ταῦρος ἀγέλης. ἄνωθεν δὲ ἔπιθι, ἀπὸ τοῦ Εἰ μὴ ἄτομοι, φύσις ἡ τὰ ὅλα διοικοῦσα. εἰ τοῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν· ταῦτα δὲ, ἀλλήλων. δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐπὶ τῆς τραπέζης, ἐν τῷ κλιναρίῳ, τἆλλα. μάλιστα δὲ, οἵας ἀνάγκας δογμάτων κειμένας ἔχουσιν, καὶ αὐτὰ δὲ ταῦτα μεθ' οἵου τύφου ποιοῦσι. τρίτον, ὅτι εἰ μὲν ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἄκοντες καὶ ἀγνοοῦντες. πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ τοῦ ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. ἄχθονται γοῦν ἀκούοντες ἄδικοι, καὶ ἀγνώμονες καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ περὶ τοὺς πλησίον. τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιοῦτος εἶ. καὶ εἰ τινῶν δὲ ἁμαρτημάτων ἀπέχῃ,

ἀλλὰ

ἀλλὰ τήν γε ἕξιν ποιητικὴν ἔχεις, εἰ καὶ διὰ δειλίαν, ἢ δοξοκοπίαν, ἢ τοιοῦτό τι κακὸν, ἀπέχῃ τῶν ὁμοίων ἁμαρτημάτων. πέμπτον, ὅτι οὐδὲ εἰ ἁμαρτάνουσι κατείληφας. πολλὰ γὰρ κατ' οἰκονομίαν γίνεται, καὶ ὅλως πολλὰ δεῖ πρότερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως καταληπτικῶς τι ἀποφήνηται. ἕκτον, ὅτι ὅταν λίαν ἀγανακτῇς, ἢ καὶ δυσπαθῇς, ἀκαριαῖος ὁ ἀνθρώπειος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν. ἕβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῶν ἐνοχλοῦσιν ἡμῖν. ἐκεῖναι γάρ εἰσιν ἐν τοῖς ἐκείνων ἡγεμονικοῖς· ἀλλὰ αἱ ἡμέτεραι ὑπολήψεις. ἆρον γοῦν καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. πῶς οὖν ἀρῶ; λογισάμενος ὅτι οὐκ αἰσχρόν. ἐὰν γὰρ μὴ μόνον ᾖ τὸ αἰσχρὸν κακὸν, ἀνάγκη καὶ σὲ πολλὰ ἁμαρτάνειν, καὶ λῃστὴν καὶ παντοῖον γενέσθαι. ὄγδοον, ὅσῳ χαλεπώτερα ἐπιφέρουσιν αἱ ὀργαὶ καὶ λῦπαι αἱ ἐπὶ τοῖς τοιούτοις, ἤπερ αὐτά ἐστιν ἐφ' οἷς ὀργιζόμεθα καὶ λυπούμεθα. ἔνατον, ὅτι τὸ εὐμενὲς ἀνίκητον, ἐὰν γνήσιον ᾖ καὶ μὴ σεσηρός, μηδὲ ὑπόκρισις. τί γάρ σοι ποιήσει ὁ ὑβριστικώτατος, ἐὰν διατελῇς εὐμενὴς αὐτῷ, καὶ εἰ οὕτως ἔτυχε πράως παραινῇς καὶ μεταδιδάσκῃς εὐσχόλως παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν, ὅτε κακὰ ποιεῖν σε ἐπιχειρεῖ; μὴ τέκνον, πρὸς ἄλλο πε-

φύκα-

φύγωμεν. ἐγὼ μὲν οὐ μὴ βλαβῶ, σὺ δὲ βλάπτῃ, τέκνον. καὶ δεικνύναι εὐαφῶς καὶ ὁλικῶς; ὅτι τοῦτο οὕτως ἔχει. ὅτι οὐδὲ μέλισσαι αὐτὸ ποιοῦσιν, οὐδ' ὅσα συναγελαστικὰ πέφυκε. Δεῖ δὲ μήτι εἰρωνικῶς αὐτὸ ποιεῖν, μήτε ὀνειδιστικῶς, ἀλλὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ, καὶ μὴ ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος παραστὰς θαυμάσῃ· ἀλλ' ἤτοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τινὲς περιεστήκωσι. τούτων τῶν ἐννέα κεφαλαίων μέμνησο, ὡς παρὰ τῶν Μουσῶν δῶρα εἰληφώς, καὶ ἄρξαι ποτὲ ἄνθρωπος εἶναι, ἕως ζῇς. Φυλακτέον δὲ ἐπίσης τῷ ὀργίζεσθαι αὐτοῖς, τὸ κολακεύειν αὐτούς. ἀμφότερα γὰρ ἀκοινώνητα, καὶ πρὸς βλάβην φέρει. πρόχειρον δὲ ἐν ταῖς ὀργαῖς, ὅτι οὐχὶ τὸ θυμοῦσθαι ἀνδρικὸν, ἀλλὰ τὸ πρᾶον καὶ ἥμερον, ὥσπερ ἀνθρωπικώτερον, οὕτως καὶ ἀρρενικώτερον, καὶ ἰσχύος καὶ νεύρων καὶ ἀνδρείας τούτῳ μέτεστιν, οὐχὶ τῷ ἀγανακτοῦντι καὶ δυσαρεστοῦντι. ὅσῳ γὰρ ἀπαθείᾳ τοῦτο οἰκειότερον, τοσούτῳ καὶ δυνάμει. ὥσπερ τε ἡ λύπη ἀσθενοῦς, οὕτως καὶ ἡ ὀργή. ἀμφότεροι γὰρ τέτρωνται, καὶ ἐνδεδώκασιν. εἰ δὲ βούλει, καὶ δέκατον παρὰ τοῦ μουσηγέτου δῶρον λαβέ. Ὅτι τὸ μὴ ἀξιοῦν ἁμαρτάνειν τοὺς φαύλους μανικόν. ἀδυνάτου γὰρ ἐφίεται. τὸ δὲ συγχωρεῖν ἄλλοις μὲν εἶναι τοιούτους,

ἀξιοῦν

ἀξιοῦν δὲ μὴ εἰς σὲ ἁμαρτάνειν, ἄγνωμον καὶ τυραννικόν. Τέσσαρας μάλιστα τροπὰς τοῦ ἡγεμονικοῦ παραφυλακτέον διηνεκῶς, καὶ ἐπειδὰν φωράσῃς, ἀπαλειπτέον, ἐπιλέγοντα ἐφ᾽ ἑκάστου οὕτως. τοῦτο τὸ φάντασμα οὐκ ἀναγκαῖον. τοῦτο, λυτικὸν κοινωνίας. τοῦτο, οὐκ ἀπὸ σαυτοῦ μέλλεις λέγειν. τὸ γὰρ μὴ ἀφ᾽ ἑαυτοῦ λέγειν ἐν τοῖς ἀτοπωτάτοις νόμιζε. τέταρτον δὲ ἐστὶ καθ᾽ ὃ σεαυτῷ ὀνειδιεῖς, ὅτι τοῦτο ἡττωμένου ἐστὶ καὶ ἐγκατακλινομένου τοῦ ἐν σοὶ θειοτέρου μέρους, τῇ ἀτιμοτέρᾳ καὶ θνητῇ μοίρᾳ τῇ τοῦ σώματος, καὶ ταῖς τούτου παχείαις ἡδοναῖς. Τὸ μὲν πνευμάτιόν σου, καὶ τὸ πυρῶδες πᾶν ὅσον ἐγκέκραται, καίτοι φύσει ἀνωφερῆ ὄντα, ὅμως πειθόμενα τῇ τῶν ὅλων διατάξει, παρακρατεῖται ἐνταῦθα ἐπὶ τοῦ συγκρίματος. καὶ τὸ γεῶδες δὲ τὸ ἐν σοὶ πᾶν, καὶ τὸ ὑγρόν, καίτοι κατωφερῆ ὄντα, ὅμως ἐγήγερται καὶ ἕστηκε τὴν οὐχ ἑαυτῶν φυσικὴν στάσιν. οὕτως ἄρα καὶ τὰ στοιχεῖα ὑπακούει τοῖς ὅλοις, ἐπειδάν που καταταχθῇ σὺν βίᾳ μένοντα, μέχρις ἂν ἐκεῖθεν πάλιν τὸ ἐνδόσιμον τῆς διαλύσεως σημήνῃ. οὐ δεινὸν οὖν μόνον τὸ νοερόν σου μέρος ἀπειθὲς εἶναι, καὶ ἀγανακτεῖν τῇ ἑαυτοῦ χώρᾳ καίτοι οὐδέν γε βίαιον τούτῳ ἐπιτάσσεται. ἀλλὰ μόνα, κατὰ φύσιν ἐστὶν αὐτῷ. οὐ μέντοι ἀνέχεται, ἀλλὰ τὴν ἐναντίαν φέρεται. ἡ γὰρ ἐπὶ τὰ ἀ-

δικήματα

δικήματα καὶ τὰ ἀκολαστήματα, καὶ τὰς λύπας, καὶ τοὺς φόβους κίνησις, οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀφισταμένου τῆς φύσεως. καὶ ὅταν δέ τινι τῶν συμβαινόντων δυσχεραίνει τὸ ἡγεμονικὸν, καταλείπει καὶ τότε τὴν ἑαυτοῦ χώραν. πρὸς ἰσότητα γὰρ καὶ θεοσέβειαν κατεσκεύασται, οὐχ ἧττον ἢ πρὸς δικαιοσύνην. καὶ γὰρ ταῦτα ἐν εἴδει ἐστὶ τῆς εὐκοινωνησίας, μᾶλλον δὲ πρεσβύτερα τῶν δικαιοπραγημάτων. Ὧι μὴ εἷς καὶ ὁ αὐτός ἐστιν ἀεὶ τοῦ βίου σκοπὸς, οὗτος εἷς καὶ ὁ αὐτὸς δι' ὅλου τοῦ βίου εἶναι οὐ δύναται. οὐκ ἀρκεῖ τὸ εἰρημένον, ἐὰν μὴ κἀκεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τὸν σκοπόν. ὥσπερ γὰρ οὐχ ἡ πάντων τῶν ὁπωσοῦν πλείοσι δοκούντων ἀγαθῶν ὑπόληψις ὁμοία ἐστὶν, ἀλλ' ἡ τῶν τοίων δέ τινων, τουτέστι τῶν κοινῶν, οὕτω καὶ τοὺς σκοποὺς, δεῖ τοὺς κοινωνικοὺς καὶ πολιτικὸν ὑποστήσασθαι. ὁ γὰρ εἰς τοῦτον πάσας τὰς ἰδίας ὁρμὰς ἀπευθύνων, πάσας τὰς πράξεις ὁμοίας ἀποδώσει. καὶ κατὰ τοῦτο ἀεὶ ὁ αὐτὸς ἔσται. Τὸν μῦν τὸν ὀρεινὸν, καὶ τὸν κατοικίδιον καὶ τὴν πτοίαν τούτου καὶ διασόβησιν. Σωκράτης καὶ τὰ τῶν πολλῶν δόγματα, λαμίας ἐκάλει, παιδίων δείματα. Λακεδαιμόνιοι τοῖς μὲν ξένοις ἐν ταῖς θεωρίαις ὑπὸ τῇ σκιᾷ τὰ βάθρα ἐτίθεσαν, αὐτοὶ δὲ οὗ ἔτυχεν ἐκαθέζοντο. Τῷ Περδίκκᾳ ὁ Σωκράτης περὶ

εἰς ὑπόμνησιν ἀλυπίας καὶ ἀφοβίας. οἷον, φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη· ὣς ἀνδρῶν γενεή, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.

Φυλλάριον δὲ καὶ τὰ τεκνία σου· φυλλάρια δὲ καὶ ταῦτα τὰ ἐπιβοῶντα ἀξιοπίστως, καὶ ἐπιφημοῦντα· ἢ ἐκ τῶν ἐναντίων καταρώμενα, ἢ ἡσυχῇ ψέγοντα, καὶ χλευάζοντα. φυλλάρια δὲ ὁμοίως, τὰ διαδεξόμενα τὴν ὑστεροφημίαν. πάντα γὰρ ταῦτα ἔαρος ἐπιγίνεται ὥρη, εἶτα ἄνεμος καταβέβληκεν, ἔπειθ' ἡ ὕλη ἕτερα ἀντὶ τούτων φύει. τὸ δὲ ὀλιγοχρόνιον κοινὸν πᾶσιν· ἀλλὰ σὺ πάντα ὡς αἰώνια ἐσόμενα φεύγεις, καὶ διώκεις, μικρὸν καὶ καταμύσεις. τὸν δὲ ἐξενεγκόντα σε ἤδη, ἄλλος θρηνήσει. Τὸν ὑγιαίνοντα ὀφθαλμὸν πάντα ὁρᾶν δεῖ τὰ ὁρατὰ, καὶ μὴ λέγειν, τὰ χλωρὰ θέλω· τοῦτο γὰρ ὀφθαλμιῶντός ἐστι. καὶ τὴν ὑγιαίνουσαν ἀκοὴν, καὶ ὄσφρησιν εἰς πάντα δεῖ τὰ ἀκουστὰ καὶ ὀσφραντὰ ἑτοίμην εἶναι. καὶ τὸν ὑγιαίνοντα στόμαχον πρὸς πάντα τρόφιμα ὁμοίως ἔχειν. ὡς μύλην πρὸς πάντα ὅσα ἀλέσουσα κατεσκεύασαι. καὶ τοίνυν τὴν ὑγιαίνουσαν διάνοιαν πρὸς πάντα δεῖ τὰ συμβαίνοντα ἑτοίμην εἶναι. ἡ δὲ λέγουσα τὰ τεκνία σωζέσθω, καὶ πάντες ὅ, τι ἂν πράξω ἐπαινείτωσαν, ὀφθαλμός ἐστι τὰ χλωρὰ ζητῶν, ἢ ὀδόντες τὰ ἁπαλά. οὐδείς ἐστιν οὕτως εὔποτμος ᾧ ἀποθνήσκοντι οὐ παρεστήξονταί τινες

ἀσπαζόμενοι τὸ συμβαῖνον κακόν. σπουδαῖος καὶ σοφὸς ὤν, μὴ τὸ πανύστατον ἔσται τις ὁ καθ' αὐτὸν λέγων, ἀναπνεύσω μέν ποτε ἀπὸ τούτου τοῦ παιδαγωγοῦ. χαλεπὸς μὲν οὐδενὶ ἡμῶν ἦν· ἀλλὰ ᾐσθανόμην ὅτι ἡσυχῇ καταγινώσκει ἡμῶν. ταῦτα μὲν δὴ ἐπὶ τοῦ σπουδαίου. ἐφ' ἡμῶν δὲ πόσα ἄλλα ἐστὶ δι' ἃ πολὺς ὁ ἀπαλλακτιῶν ἡμῶν. τοῦτο οὖν ἐννοήσεις ἀποθνήσκων, καὶ εὐκολώτερον ἐξελεύσῃ, λογιζόμενος, ἐκ τοιούτου βίου ἀπέρχομαι, ἐν ᾧ αὐτοὶ οἱ κοινωνοὶ, ὑπὲρ ὧν τὰ τοσαῦτα ἠγωνισάμην, ηὐξάμην, ἐφρόντισα, αὐτοὶ ἐκεῖνοι ἐθέλουσί με ὑπάγειν, ἄλλην τινὰ τυχὸν ἐκ τούτου ῥαστώνην ἐλπίζοντες. τί ἂν δή τις ἀντέχοιτο τῆς ἐνταῦθα μακροτέρας διατριβῆς. Μὴ μέντοι διὰ τοῦτο ἔλαττον εὐμενὴς αὐτοῖς ἄπιθι, ἀλλὰ τὸ ἴδιον ἔθος διασώζων, φίλος, καὶ εὔνους, καὶ ἵλεως, καὶ μὴ πάλιν ὡς ἀποσπώμενος. ἀλλ' ὥσπερ ἐπὶ τοῦ εὐθανατοῦντος, εὐκόλως τὸ ψυχάριον ἀπὸ τοῦ σώματος ἐξειλεῖται, οὕτω αὐτὴν καὶ τὴν ἀπὸ τούτων ἀποχώρησιν δεῖ γενέσθαι. καὶ γὰρ τούτοις ἡ φύσις συνῆψε, καὶ συνέκεινεν. ἀλλὰ νῦν διαλύει; διαλύομαι, ὡς ἀπὸ οἰκείων μὲν, οὐ μὴν ἀνθελκόμενος, ἀλλ' ἀβιάστως. ἓν γὰρ καὶ τοῦτο τῶν κατὰ φύσιν. Ἔθιζον ἐπὶ παντὸς ὡς οἷόν τε τοῦ πρασσομένου ὑπό τινος, ἐπιζητεῖν κατὰ σαυτόν, οὗτος τοῦτο, ἐπὶ τίνα φέρει. ἄρχου δὲ ἀπὸ

σαυτοῦ, καὶ σεαυτὸν πρῶτον ἐξέταζε. Μέμνησο ὅτι τὸ νευροσπαστοῦν ἐστὶν ἐκεῖνο, τὸ ἔνδον ἐγκεκρυμμένον· ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωή, ἐκεῖνο, εἰ δεῖ εἰπεῖν, ἄνθρωπος. μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειῶδες, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. ὅμοια γάρ ἐστι σκεπάρνῳ. μόνον δὲ διαφέροντα, καθότι προσφυῆ ἐστιν· ἐπεί τοι οὐ μᾶλλόν τι τούτων ὄφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντείᾳ, καὶ τοῦ καλάμου τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

ΜΑΡΚΟΥ ἈΝΤΩΝΙ'ΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ια΄.

Τὰ ἴδια τῆς λογικῆς ψυχῆς· ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν ὁποίαν ἂν βούληται ποιεῖ, τὸν καρπὸν ὃν φέρει αὐτὴ καρποῦται (τοὺς μὲν τῶν φυτῶν καρπούς, καὶ τὸ ἀνάλογον ἐπὶ τῶν ζώων ἄλλοι καρποῦνται) τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐπιστῇ. οὐχ ὥσπερ ἐπὶ ὀρχήσεως καὶ

ὑπο-

ἀποκείσεως καὶ τῆς τοιαύτης ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις ἐάν τι ἐγκόψῃ. ἀλλ' ἐπὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλῆρες καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, ἐγὼ ἀπέχω τὰ ἐμά. ἔτι δὲ περιέρχεται τὸν ὅλον κόσμον, καὶ τὸ περὶ αὐτὸν κενόν, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ εἰς τὴν ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεται, καὶ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνει, καὶ περινοεῖ, καὶ θεωρεῖ. ὅτι οὐδὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, οὐδὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντούτης, ἐὰν νοῦν ὁποσονοῦν ἔχῃ, πάντα τὰ γεγονότα, καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδές. ἴδιον δὲ λογικῆς ψυχῆς, καὶ τὸ φιλεῖν τοὺς πλησίον, καὶ ἀλήθεια, καὶ αἰδώς, καὶ τὸ μηδὲν ἑαυτοῦ προτιμᾶν, ὅπερ ἴδιον καὶ νόμου, οὕτως ἄρ' οὐδὲν διήνεγκε λόγος ὀρθὸς, καὶ λόγος δικαιοσύνης· ᾠδῆς ἐπιτερποῦς, καὶ ὀρχήσεως, καὶ παγκρατίου καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτοῦ εἰ τούτου ἥττων εἶ. διατραπήσῃ γάρ. ἐπὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποιήσας καθ' ἑκάστην κίνησιν ἢ σχέσιν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ παγκρατίου. ὅλως δὴ χωρὶς ἀρετῆς, καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ἐπὶ τὰ κατὰ μέρος τρέχειν. καὶ

Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία παρήχθη, παιδαγωγικὴν παρρησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυρρημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ παρελάμβανε. μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρὸς τί ποτε παρείληπται, ἢ κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπερρύη ἐπίστησον· ὅτι μὲν γὰρ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖται. ἀλλὰ ἡ ὅλη ἐπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκοπὸν ἀπέβλεψε; πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ἐπιτήδειον, ὡς ταύτην ἐν ᾗ νῦν ὢν τυγχάνεις. Κλάδος τοῦ προσεχοῦς κλάδου ἀποκοπεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀποκεκόφθαι. οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀνθρώπου ἀποσχισθεὶς ὅλης τῆς κοινωνίας ἀποπέπτωκε. κλάδον μὲν οὖν ἄλλος ἀποκόπτει, ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χωρίζει, μισήσας καὶ ἀποστραφείς, ἀγνοεῖ δὲ ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀποτέτμηκεν ἑαυτόν. πλὴν ἐκεῖνό γε δῶρον τοῦ συστησαμένου τὴν κοινωνίαν Διός. ἔξεστι γὰρ πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γίνεσθαι. πλεονάκις μέντοι γινόμενον τὸ κατὰ τὴν τοιαύτην διαί-

ρεσιν, δυσένωτον καὶ δυσαποκατάστατον προχωροῦν ποιεῖ. ὅλως τε οὐχ ὅμοιος ὁ κλάδος ὁ ἀπ' ἀρχῆς συμβλαστήσας, καὶ σύμπνους συμμείνας τῷ μετὰ τὴν ἀποκοπὴν αὖθις ἐγκεντρισθέντι. ὅ, τί ποτε λέγουσι οἱ φυτουργοί, ὁμοθαμνεῖν μὲν, μὴ ὁμοδογματεῖν δέ. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποστρέψαι σε οὐ δυνήσονται, οὕτως μηδὲ τῆς πρὸς αὐτοὺς εὐμενείας ἐκκρουέτωσαν· ἀλλὰ φύλασσε ἑαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως. μὴ μόνον ἐπὶ τῆς εὐσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς τοὺς κωλύειν ἐπιχειροῦντας, ἢ ἄλλως δυσχεραίνοντας πραότητος. καὶ γὰρ τοῦτο ἀσθενὲς, τὸ χαλεπαίνειν αὐτοῖς ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως, καὶ ἐνδοῦναι καταπλαγέντα· ἀμφότεροι γὰρ ἐπίσης λιποτάκται, ὁ μὲν ὑποτρέσας, ὁ δὲ ἀλλοτριωθεὶς πρὸς τὸν φύσει συγγενῆ καὶ φίλον. Οὐκ ἔστι χείρων οὐδεμία φύσις τέχνης. καὶ γὰρ αἱ τέχναι τὰς φύσεις μιμοῦνται. εἰ δὲ τοῦτο, ἡ πασῶν τῶν ἄλλων τελειοτάτη καὶ περιληπτικωτάτη φύσις, οὐκ ἂν ἀπολείποιτο τῆς τεχνικῆς εὐμηχανίας. πᾶσαι δέ γε τέχναι τῶν κρειττόνων ἕνεκεν τὰ χείρω ποιοῦσιν· οὐκοῦν καὶ ἡ κοινὴ φύσις. καὶ δὴ ἔνθεν μὲν γένεσις δικαιοσύνης, ἀπὸ δὲ ταύτης αἱ λοιπαὶ ἀρεταὶ ὑφίστανται, οὐ γὰρ τηρηθήσεται

θήσεται

θήσεται τὸ δίκαιον, ἐὰν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ εὐεξαπάτητοι καὶ προπτωτικοὶ καὶ μεταπτωτικοὶ ὦμεν. Εἰ οὐκ ἔρχεται ἐπὶ σὲ τὰ πράγματα ὧν αἱ διώξεις καὶ φυγαὶ θορυβοῦσί σε. ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ᾽ ἐκεῖνα ἔρχῃ. τὸ γοῦν κρίμα τὸ περὶ αὐτῶν, ἡσυχαζέτω, κἀκεῖνα μένει ἀτρεμοῦντα, καὶ οὔτε διώκων οὔτε φεύγων ὀφθήσῃ. σφαῖρα ψυχῆς αὐτοειδής, ὅταν μήτε ἐκτείνηται ἐπί τι, μήτε ἔσω συντρέχῃ, μήτε συνιζάνῃ. ἀλλὰ φωτὶ λάμπηται, ᾧ τὴν ἀλήθειαν ὁρᾷ τὴν πάντων, καὶ τὴν ἐν αὐτῇ.

Καταφρονήσει μού τις; ὄψεται. ἐγὼ δὲ ὄψομαι, ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων εὑρίσκωμαι. μισήσει; ὄψεται. ἀλλὰ ἐγὼ εὐμενὴς καὶ εὔνους παντί, καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐκ ὀνειδιστικῶς, οὐδὲ ὡς καταπιδεικνύμενος ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρηστῶς, οἷος ὁ Φωκίων ἐκεῖνος, εἴ γε μὴ προσεποιεῖτο· τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, καὶ ὑπὸ τῶν θεῶν βλέπεσθαι ἄνθρωπον πρὸς μηδὲν ἀγανακτικῶς διατιθέμενον, μηδὲ δεινοπαθοῦντα· τί γάρ σοι κακὸν εἰ αὐτὸς νῦν ποιεῖ τὸ ἤδη τῇ φύσει σου οἰκεῖον, οὐ δέχῃ τὸ νῦν τῇ τῶν ὅλων φύσει εὔκαιρον, ἄνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι᾽ ὅτου δὴ τὸ κοινῇ συμφέρον; ἀλλήλων καταφρονοῦν-

των, ἀλλήλοις ἀρεσκευόντων, καὶ ἀλλήλων ὑπερέχειν θελόντων, ἀλλήλοις ὑποκατακλινόνται. Ὡς σαπρὸς καὶ κίβδηλος ὁ λέγων, ἐγὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθαι. τί ποιεῖς ἄνθρωπε; τοῦτο οὐ δεῖ προλέγειν. αὐτὸ φανήσεται· ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει· εὐθὺς ἡ φωνὴ τοιοῦτον ἠχεῖ, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τῶν ἐραστῶν ἐν τῷ βλέμματι πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος, τοιοῦτον ὅλως δεῖ τὸν ἁπλοῦν καὶ ἀγαθὸν εἶναι, οἷον γράσωνα. ἵνα ὁ παραστὰς, ἅμα τῷ προσελθεῖν θέλῃ οὐ θέλῃ αἴσθηται. ἐπιτήδευσις δὲ ἁπλότητος σκάλμη ἐστὶν, οὐδὲν ἐστὶν αἴσχιον λυκοφιλίας. πάντων μάλιστα τοῦτο φεῦγε, ὁ ἀγαθὸς, καὶ ἁπλοῦς, καὶ εὐμενὴς, ἐν τοῖς ὄμμασιν ἔχουσι ταῦτα. καὶ οὐ λανθάνει. Κάλλιστα δὲ ζῆν, δύναμις αὕτη ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιάφορα ἀδιαφορῇ, ἀδιαφορήσει δὲ, ἐὰν ἕκαστον αὐτῶν θεωρῇ διῃρημένως καὶ ὁλικῶς, καὶ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτῶν ἡμῖν ἐμποιεῖ, οὐδὲ ἔρχεται ἐφ' ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ· ἡμεῖς δὲ ἐσμὲν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες καὶ οἷον γράφοντες ἑαυτοῖς, ἐξὸν μὲν μὴ γράφειν. ἐξὸν δὲ κἄν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι. ὅτι ὀλίγου χρόνου ἔσται ἡ τοιαύτη προσοχή. καὶ λοιπὸν πεπαύσεται ὁ βίος. Τί μέντοι δύσκολον καλῶς ἔχειν ταῦτα; εἰ μὲν γὰρ κατὰ φύσιν ἐστὶ, χαῖρε αὐτοῖς.

καὶ

καὶ ῥᾷστά ἐστω σοι· εἰ δὲ παρὰ φύσιν, ζήτει τί ἐστι σοι κατὰ τὴν σὴν φύσιν, καὶ ἐπὶ τοῦτο σπεῦδε, κἂν ἄδοξον ᾖ. παντὶ γὰρ συγγνώμη τὸ ἴδιον ἀγαθὸν ζητοῦντι. Πόθεν ἐλήλυθεν ἕκαστον, καὶ ἐκ τίνων ἕκαστον ὑποκειμένων, καὶ εἰς τί μεταβάλλει, καὶ οἷον ἔσται μεταβάλλον, καὶ ὡς οὐδὲν κακὸν πείσεται. καὶ πρῶτον, τίς ἡ πρὸς αὐτοὺς μοι σχέσις. καὶ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν. Καὶ καθ' ἕτερον λόγον, προστησόμενος αὐτῶν γέγονα, ὡς κριὸς ποίμνης, ἢ ταῦρος ἀγέλης. ἄνωθεν δὲ ἔπιθι, ἀπὸ τοῦ Εἰ μὴ ἄτομοι, φύσις ἡ τὰ ὅλα διοικοῦσα. εἰ τοῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν· ταῦτα δὲ, ἀλλήλων. δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐπὶ τῆς τραπέζης, ἐν τῷ κλιναρίῳ, τἄλλα. μάλιστα δὲ, οἵας ἀνάγκας δογμάτων κειμένας ἔχουσιν, καὶ αὐτὰ δὲ ταῦτα μεθ' οἵου τύφου ποιοῦσι. τρίτον, ὅτι εἰ μὲν ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἄκοντες καὶ ἀγνοοῦντες. πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ τοῦ ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. ἄχθονται γοῦν ἀκούοντες ἄδικοι, καὶ ἀγνώμονες καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ περὶ τοὺς πλησίον. τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιοῦτος εἶ. καὶ εἰ τινῶν δὲ ἁμαρτημάτων ἀπέχῃ,

ἀλλὰ

ἀλλὰ τήν γε ἕξιν ποιητικὴν ἔχεις, εἰ καὶ ὑπὸ δειλίας, ἢ δοξοκοπίας, ἢ τοιούτου τινὸς κακοῦ, ἀπέχῃ τῶν ὁμοίων ἁμαρτημάτων. πέμπτον, ὅτι οὐδὲ εἰ ἁμαρτάνουσι κατείληφας. πολλὰ γὰρ κατ' οἰκονομίαν γίνεται, καὶ ὅλως πολλὰ δεῖ πρότερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως καταληπτικῶς τι ἀποφήνηται. ἕκτον, ὅτι ὅταν λίαν ἀγανακτῇς, ἢ καὶ δυσπαθῇς, ἀκαριαῖος ὁ ἀνθρώπειος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν. ἕβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῶν ἐνοχλοῦσιν ἡμῖν. ἐκεῖναι γάρ εἰσιν ἐν τοῖς ἐκείνων ἡγεμονικοῖς· ἀλλὰ αἱ ἡμέτεραι ὑπολήψεις. ἆρον γοῦν καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. πῶς οὖν ἀρῶ; λογισάμενος ὅτι οὐκ αἰσχρόν. ἐὰν γὰρ μὴ μόνον ᾖ τὸ αἰσχρὸν κακὸν, ἀνάγκη καὶ σὲ πολλὰ ἁμαρτάνειν, καὶ λῃστὴν καὶ παντοῖον γενέσθαι. ὄγδοον, ὅσῳ χαλεπώτερα ἐπιφέρουσιν αἱ ὀργαὶ καὶ λῦπαι αἱ ἐπὶ τοῖς τοιούτοις, ἤπερ αὐτά ἐστιν ἐφ' οἷς ὀργιζόμεθα καὶ λυπούμεθα. ἔνατον, ὅτι τὸ εὐμενὲς ἀνίκητον, ἐὰν γνήσιον ᾖ καὶ μὴ σεσηρός, μηδὲ ὑπόκρισις. τί γάρ σοι ποιήσει ὁ ὑβριστικώτατος, ἐὰν διατελῇς εὐμενὴς αὐτῷ, καὶ εἰ οὕτως ἔτυχε, πρᾴως παραινῇς καὶ μεταδιδάσκῃς εὐσχολῶν παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν, ὅτε κακὰ ποιεῖν σε ἐπιχειρεῖ; μὴ τέκνον, πρὸς ἄλλο πε-

φύκα-

φύκαμεν. ἐγὼ μὲν οὐ μὴ βλαβῶ, σὺ δὲ βλά-
πτῃ, τέκνον. καὶ δεικνύναι εὐαφῶς καὶ ὁλικῶς,
ὅτι τοῦτο οὕτως ἔχει. ὅτι οὐδὲ μέλισσαι αὐτὸ ποιοῦ-
σιν, οὐδ' ὅσα συναγελαστικὰ πέφυκε. Δεῖ δὲ μή-
τε εἰρωνικῶς αὐτὸ ποιεῖν, μήτε ὀνειδιστικῶς, ἀλ-
λὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ, καὶ
μὴ ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος παραστὰς θαυ-
μάσῃ· ἀλλ' ἤτοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τι-
νὲς περιεστήκωσι. τούτων τῶν ἐννέα κεφαλαί-
ων μέμνησο, ὡς παρὰ τῶν Μουσῶν δῶρα εἰλη-
φώς, καὶ ἄρξαι ποτὲ ἄνθρωπος εἶναι, ἕως
ζῇς. Φυλακτέον δὲ ἐπίσης τοῦ ὀργίζεσθαι αὐ-
τοῖς, τὸ κολακεύειν αὐτούς. ἀμφότερα γὰρ ἀ-
κοινώνητα, καὶ πρὸς βλάβην φέρει. πρόχει-
ρον δὲ ἐν ταῖς ὀργαῖς, ὅτι οὐχὶ τὸ θυμοῦσθαι ἀν-
δρικόν, ἀλλὰ τὸ πρᾶον καὶ ἥμερον, ὥσπερ ἀν-
θρωπικώτερον, οὕτως καὶ ἀρρενικώτερον, καὶ
ἰσχύος καὶ νεύρων καὶ ἀνδρείας τούτῳ μέτε-
στιν, οὐχὶ τῷ ἀγανακτοῦντι καὶ δυσαρεστοῦντι.
ὅσῳ γὰρ ἀπαθείᾳ τοῦτο οἰκειότερον, τοσούτῳ
καὶ δυνάμει. ὥσπερ τε ἡ λύπη ἀσθενοῦς, οὕτως
καὶ ἡ ὀργή. ἀμφότεροι γὰρ τέτρωνται, καὶ ἐνδε-
δώκασιν. εἰ δὲ βούλει, καὶ δέκατον παρὰ τοῦ Μου-
σηγέτου δῶρον λαβέ. Ὅτι τὸ μὴ ἀξιοῦν ἁμαρ-
τάνειν τοὺς φαύλους μανικόν. ἀδυνάτου γὰρ
ἐφίεται. τὸ δὲ συγχωρεῖν ἄλλοις μὲν εἶναι τοιούτους,

ἀξιοῦν δὲ μὴ εἰς σὲ ἁμαρτάνειν, ἄγνωμον καὶ τυραννικόν. Τέσσαρας μάλιστα τροπὰς τοῦ ἡγεμονικοῦ παραφυλακτέον διηνεκῶς, καὶ ἐπειδὰν φωράσῃς, ἀπαλειπτέον, ὧδι λέγοντα ἐφ' ἑκάστου οὕτως. τοῦτο τὸ φάντασμα οὐκ ἀναγκαῖον. τοῦτο, λυτικὸν κοινωνίας. τοῦτο, οὐκ ἀπὸ σαυτοῦ μέλλεις λέγειν. τὸ γὰρ μὴ ἀφ' ἑαυτοῦ λέγειν ἐν τοῖς ἀτοπωτάτοις νόμιζε. τέταρτον δέ ἐστι καθ' ὃ σεαυτῷ ὀνειδιεῖς, ὅτι τοῦτο ἡττωμένου ἐστὶ καὶ ἐγκατακλινομένου τοῦ ἐν σοὶ θειοτέρου μέρους, τῇ ἀτιμοτέρᾳ καὶ θνητῇ μοίρᾳ τῇ τοῦ σώματος, καὶ ταῖς τούτου παχείαις ἡδοναῖς. Τὸ μὲν πνευμάτιόν σου, καὶ τὸ πυρῶδες πᾶν ὅσον ἐγκέκραται, καίτοι φύσει ἀνωφερῆ ὄντα, ὅμως πειθόμενα τῇ τῶν ὅλων διατάξει, παρακρατεῖται ἐνταῦθα ἐπὶ τοῦ συγκρίματος. καὶ τὸ γεῶδες δὲ τὸ ἐν σοὶ πᾶν, καὶ τὸ ὑγρόν, καὶ τὰ κατωφερῆ ὄντα, ὅμως ἐγήγερται καὶ ἕστηκε τὴν οὐχ ἑαυτῶν φυσικὴν στάσιν. οὕτως ἄρα καὶ τὰ στοιχεῖα ὑπακούει τοῖς ὅλοις, ἐπειδάν που καταταχθῇ σὺν βίᾳ μένοντα, μέχρις ἂν ἐκεῖθεν πάλιν τὸ ἐνδόσιμον τῆς διαλύσεως σημήνῃ. οὐ δεινὸν οὖν μόνον τὸ νοερόν σου μέρος ἀπειθὲς εἶναι, καὶ ἀγανακτεῖν τῇ ἑαυτοῦ χώρᾳ καίτοι οὐδέν γε βίαιον τούτῳ ἐπιτάσσεται. ἀλλὰ μόνα, κατὰ φύσιν ἐστὶν αὐτῷ. οὐ μέντοι ἀνέχεται, ἀλλὰ τὴν ἐναντίαν φέρεται. ἡ γὰρ ἐπὶ τὰ ἀ-

δικήματα

ἀδικήματα καὶ τὰ ἀκολαστήματα, καὶ τὰς λύπας, καὶ τοὺς φόβους κίνησις, οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀφισταμένου τῆς φύσεως. καὶ ὅταν δέ τινι τῶν συμβαινόντων δυσχεραίνει τὸ ἡγεμονικὸν, καταλείπει καὶ τότε τὴν ἑαυτοῦ χώραν. πρὸς ἰσότητα γὰρ καὶ θεοσέβειαν κατεσκεύασται, οὐχ ἧττον ἢ πρὸς δικαιοσύνην. καὶ γὰρ ταῦτα ἐν εἴδει ἐστὶ τῆς εὐκοινωνησίας, μᾶλλον δὲ πρεσβύτερα τῶν δικαιοπραγημάτων. Ὧι μὴ εἷς καὶ ὁ αὐτός ἐστιν ἀεὶ τοῦ βίου σκοπὸς, οὗτος εἷς καὶ ὁ αὐτὸς δι' ὅλου τοῦ βίου εἶναι οὐ δύναται. οὐκ ἀρκεῖ τὸ εἰρημένον, ἐὰν μὴ κἀκεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τὸν σκοπόν. ὥσπερ γὰρ οὐχ ἡ πάντων τῶν ὁπωσοῦν πλείοσι δοκούντων ἀγαθῶν ὑπόληψις ὁμοία ἐστὶν, ἀλλ' ἡ τῶν τοιῶνδέ τινων, τουτέστι τῶν κοινῶν, οὕτω καὶ τοὺς σκοποὺς, δεῖ τοὺς κοινωνικοὺς καὶ πολιτικὸν ὑποστήσασθαι. ὁ γὰρ εἰς τοῦτον πάσας τὰς ἰδίας ὁρμὰς ἀπευθύνων, πάσας τὰς πράξεις ὁμοίως ἀποδώσει. καὶ κατὰ τοῦτο ἀεὶ ὁ αὐτὸς ἔσται. Τὸν μῦν τὸν ὀρεινὸν, καὶ τὸν κατοικίδιον καὶ τὴν πτοίαν τούτου καὶ διασόβησιν. Σωκράτης καὶ τὰ τῶν πολλῶν δόγματα, λαμίας ἐκάλει, παιδίων δείματα. Λακεδαιμόνιοι τοῖς μὲν ξένοις ἐν ταῖς θεωρίαις ὑπὸ τῇ σκιᾷ τὰ βάθρα ἐτίθεσαν, αὐτοὶ δὲ οὗ ἔτυχεν ἐκαθέζοντο. Τῷ Περδίκκᾳ ὁ Σωκράτης περὶ

τοῦ μὴ

τοῦ μὴ ὀρχεῖσθαι παρ' αὐτὸν, ἵνα ἔφη μὴ τῷ κακίστῳ ὀλέθρῳ ἀπόλωμαι. τουτέστι μὴ εὖ παθὼν οὐ δυνηθῶ ἀντευποιῆσαι. Ἐν τοῖς τῶν Ἐφεσίων γράμμασι, παράγγελμα ἔκειτο συνεχῶς ὑπομιμνήσκεσθαι τῶν παλαιῶν τινος τῶν ἀρετῇ χρησαμένων. Οἱ Πυθαγόρειοι, ἕωθεν εἰς τὸν οὐρανὸν ἀφορᾶν, ἵν' ὑπομιμνησκώμεθα τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τὸ ἑαυτῶν ἔργον διανυόντων, καὶ τῆς τάξεως καὶ τῆς καθαρότητος, καὶ τῆς γυμνότητος. οὐδὲν γὰρ προκάλυμμα ἄστρου. Οἷος ὁ Σωκράτης τὸ κώδιον ὑπεζωσμένος, ὅτε ἡ Ξανθίππη λαβοῦσα τὸ ἱμάτιον ἔξω προῆλθε. καὶ ἃ εἶπεν ὁ Σωκράτης τοῖς ἑταίροις αἰδεσθεῖσι καὶ ἀναχωρήσασιν, ὅτε αὐτὸν εἶδον οὕτως ἐσταλμένον.

Ἐν τῷ γράφειν καὶ ἀναγινώσκειν οὐ πρότερον ἄρξεις, πρὶν ἀρχθῇς. τοῦτο πολλῷ μᾶλλον ἐν τῷ βίῳ.

Δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.

Ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.

Μέμψονται δ' ἀρετὴν χαλεποῖς βάζοντες ἔπεσιν. Σῦκον χειμῶνος ζητεῖν, μαινομένου. τοιοῦτος ὁ τὸ παιδίον ζητῶν, ὅτε οὐκ ἔτι δίδοται. καταφιλοῦντα τὸ παιδίον ἔλεγεν ὁ Ἐπίκτητος, ἔνδον ἐπιφθέγγεσθαι, αὔριον ἴσως ἀποθανῇ. δύσφημα ταῦτα; οὐδὲν δύσφημον ἔφη·

φυσι-

φυσικοῦ τινος ἔργου σημαντικόν. ἢ καὶ τὸ τοὺς στάχυας θερισθῆναι, δύσφημον. ὄμφαξ, σταφυλή, σταφίς, πάντα μεταβολαί, οὐκ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν. Λῃστὴς προαιρέσεως οὐ γίνεται, τὸ τοῦ Ἐπικτήτου. Τέχνην δὲ ἔφη περὶ τὸ συγκατατίθεσθαι εὑρεῖν, καὶ ἐν τῷ περὶ τὰς ὁρμὰς τόπῳ τὸ προσεκτικὸν φυλάσσειν, ἵνα μεθ' ὑπεξαιρέσεως, ἵνα κοινωνικαί, ἵνα κατ' ἀξίαν. καὶ ὀρέξεως μὲν παντάπασιν ἀπέχεσθαι, ἐκκλίσει δὲ πρὸς μηδὲν τῶν οὐκ ἐφ' ἡμῖν χρῆσθαι, οὐ περὶ τοῦ τυχόντος οὖν ἔφη ἐστὶν ὁ ἀγών, ἀλλὰ περὶ τοῦ μαίνεσθαι, εἰ μὴ ὁ Σωκράτης ἔλεγε. τί θέλετε λογικῶν ψυχὰς ἔχειν, ἢ ἀλόγων; λογικῶν. τίνων λογικῶν; ὑγιῶν, ἢ φαύλων; ὑγιῶν; τί οὖν ζητεῖτε; ὅτι ἔχομεν. τί οὖν μάχεσθε, καὶ διαφέρεσθε;

ΜΆΡΚΟΥ ΑΝΤΩΝΊΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ιβʹ.

ΠΆΝΤΑ ἐκεῖνα ἐφ' ἃ διὰ περιόδου εὔχῃ ἐλθεῖν, ἤδη ἔχειν δύνασαι, ἐὰν μὴ σαυτῷ φθονῇς. τοῦτο δ' ἐστιν, ἐὰν πᾶν τὸ παρελθὸν καταλίπῃς, καὶ τὸ μέλλον ἐπιτρέψῃς τῇ προνοίᾳ. καὶ τὸ παρὸν μόνον ἀπευθύνῃς πρὸς ὁσιότητα καὶ δικαιοσύνην. ὁσιότητα μὲν, ἵνα φιλῇς τὸ ἀπονεμόμενον. σοὶ γὰρ αὐτὸ ἡ φύσις ἔφερε, καὶ σὲ τούτῳ. δικαιοσύνην δὲ, ἵνα ἐλευθέρως καὶ χωρὶς περιπλοκῆς λέγῃς τε τἀληθῆ, καὶ πράσσῃς τὰ κατὰ νόμον, καὶ κατ' ἀξίαν. μὴ ἐμποδίζῃ δέ σε, μήτε κακία ἀλλοτρία, μήτε ὑπόληψις, μήτε φωνὴ, μηδὲ μὴν αἴσθησις τοῦ περιτεθραμμένου σοι σαρκιδίου. ὄψεται γὰρ τὸ πάσχον. ἐὰν οὖν ὅτε δή ποτε πρὸς ἐξόδῳ γένῃ, πάντα τὰ ἄλλα καταλιπὼν, μόνον τὸ ἡγεμονικόν σου, καὶ τὸ ἐν σοὶ θεῖον τιμήσῃς, καὶ τὸ μὴ παύσεσθαί ποτε ζῆν φοβηθῇς, ἀλλὰ τό γε μηδέποτε ἄρξασθαι κατὰ φύσιν ζῆν· ἔσῃ ἄνθρωπος ἄξιος τοῦ γεννήσαντος κόσμου, καὶ παύσῃ ξένος ὢν τῆς πατρίδος, καὶ θαυμάζων ὡς ἀπροσδό-

ἀπροσδόκητα τὰ καθ' ἡμέραν γινόμενα, καὶ κρεμάμενος ἐκ τοῦδε καὶ τοῦδε. Ὁ θεὸς πάντα τὰ ἡγεμονικὰ, γυμνὰ τῶν ὑλικῶν ἀγγείων καὶ φλοιῶν καὶ καθαρμάτων ὁρᾷ. μόνῳ γὰρ τῷ ἑαυτοῦ νοερῷ μόνων ἅπτεται, τῶν ἐξ ἑαυτοῦ εἰς ταῦτα ἐῤῥυηκότων καὶ ἀπωχετευμένων. ἐὰν δὲ καὶ σὺ τοῦτο ἐθίσῃς ποιεῖν, τὸν πολὺν περισπασμὸν σεαυτοῦ περιαιρήσεις. ὁ γὰρ μὴ τὰ περικείμενα κρεάδια ὁρῶν, ἦ πού γε ἐσθῆτα, καὶ οἰκίαν, καὶ δόξαν, καὶ τὴν τοιαύτην περιβολὴν καὶ σκηνὴν θεώμενος, ἀσχολήσεται; τρία ἐστὶν ἐξ ὧν συνέστηκας, σωμάτιον, πνευμάτιον, νοῦς. τούτων τἄλλα μέχρι τοῦ ἐπιμελεῖσθαι δεῖν σά ἐστι. τὸ δὲ τρίτον μόνον κυρίως σόν, ὃ ἐὰν χωρίσῃς ἀπὸ σεαυτοῦ, τουτέστιν ἀπὸ τῆς σῆς διανοίας, ὅσα ἄλλοι ποιοῦσιν ἢ λέγουσιν ἢ ὅσα αὐτὸς ἐποίησας ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσσεις, καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου, ἢ τοῦ συμφύτου πνευματίου, ἀπροαίρετα πρόσεστιν, καὶ ὅσα ἡ ἔξωθεν περιῤῥέουσα δίνη ἑλίσσει, ὥστε τῶν συνειμαρμένων ἐξῃρημένην καθαρὰν τὴν νοερὰν δύναμιν ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δίκαια, καὶ θέλουσαν τὰ συμβαίνοντα, καὶ λέγουσαν τἀληθῆ, ἐὰν χωρίσῃς φημὶ τοῦ ἡγεμονικοῦ τούτου τὰ προσηρτημένα ἐκ προσπαθείας, καὶ τοῦ χρόνου τὰ ἐπέκεινα, ἢ τὰ παρῳχηκότα, ποιήσῃς τε σεαυτὸν, οἷος ὁ Ἐμπεδόκλειος σφαῖρος κυκλο-

τερὴς μονίῃ περιηγέϊ γαίων, μόνον τε ζῆν ἐκμελετήσας ὃ ζῇς, τουτέστι τὸ παρὸν, δυνήσῃ τό γε μέχρι τοῦ ἀποθανεῖν ὑπολειπόμενον, ἀταράκτως καὶ εὐμενῶς, καὶ ἵλεως τῷ σαυτοῦ δαίμονι διαβιῶναι. Πολλάκις ἐθαύμασα, πῶς ἑαυτὸν μὲν ἕκαστος μᾶλλον πάντων φιλεῖ, τὴν δὲ ἑαυτοῦ περὶ αὐτοῦ ὑπόληψιν ἐν ἐλάττονι λόγῳ τίθεται, ἢ τὴν τῶν ἄλλων. Ἐὰν γοῦν τινὰ θεὸς ἐπιστὰς, ἢ διδάσκαλος ἔμφρων κελεύσῃ μηδὲν καθ' ἑαυτὸν ἐνθυμεῖσθαι καὶ διανοεῖσθαι, ὃ μὴ ἅμα γε γινώσκων ἐξοίσει, οὐδὲ πρὸς μίαν ἡμέραν τοῦτο ὑπομένει· οὕτω τοὺς πέλας μᾶλλον αἰδούμεθα τί ποτε περὶ ἡμῶν φρονήσουσιν, ἢ ἑαυτούς. Πῶς ποτε πάντα καλῶς καὶ φιλανθρώπως διατάξαντες οἱ θεοὶ, τοῦτο μόνον παρεῖδον, τὸ ἐνίους τῶν ἀνθρώπων καὶ πάνυ χρηστοὺς, καὶ πλεῖστα πρὸς τὸ θεῖον ὥσπερ συμβόλαια θεμένους, καὶ ἐπὶ πλεῖστον δι' ἔργων ὁσίων καὶ ἱερουργιῶν συνήθεις τῷ θείῳ γενομένους, ἐπειδὰν ἅπαξ ἀποθάνωσι, μηκέτι αὖθι γίνεσθαι, ἀλλ' εἰς τὸ παντελὲς ἀπεσβηκέναι. τοῦτο δὲ εἴπερ καὶ οὕτως ἔχει, εὖ ἴσθι ὅτι εἰ ὡς ἑτέρως ἔχειν ἔδει, ἐποίησαν ἄν. εἰ γὰρ δίκαιον ἦν, ἦν ἂν καὶ δυνατόν· καὶ εἰ κατὰ φύσιν, ἤνεγκεν ἂν αὐτὸ ἡ φύσις. ἐκ δὴ τοῦ μὴ οὕτως ἔχειν, εἴπερ οὐχ οὕτως ἔχει, πειθέσθω σοι τὸ μὴ δεῆσαι οὕτω γίνεσθαι. ὁρᾷς γὰρ καὶ αὐτὸς, ὅτι τοῦτο

παραζη-

παραζητῶν δικαιολογῇ πρὸς τὸν θεόν. οὐκ ἂν δ' οὕτω διελεγόμεθα τοῖς θεοῖς, εἰ μὴ ἄριστοι καὶ δικαιότατοί εἰσιν. εἰ δὲ τοῦτο, οὐκ ἄν τι περιεῖδον ἀδίκως καὶ ἀλόγως ἠμελημένον τῶν ἐν τῇ διακοσμήσει. Ἔθιζε καὶ ὅσα ἀπογινώσκεις. καὶ γὰρ ἡ χεὶρ ἡ ἀριστερὰ πρὸς τὰ ἄλλα διὰ τὸ ἀνέθιστον ἀργὸς οὖσα, τοῦ χαλινοῦ ἐρρωμενέστερον ἢ ἡ δεξιά κρατεῖ. τοῦτο γὰρ εἴθισται. Ὁποῖον δεῖ καταληφθῆναι ὑπὸ τοῦ θανάτου, καὶ σώματι καὶ ψυχῇ· τὴν βραχύτητα τοῦ βίου, τὴν ἀχάνειαν τοῦ ὀπίσω καὶ πρόσω αἰῶνος, τὴν ἀσθένειαν πάσης ὕλης, γυμνὰ τῶν φλοιῶν θεάσασθαι τὰ αἰτιώδη. τὰς ἀναφοράς τῶν πράξεων. τί πόνος, τί ἡδονή. τί θάνατος, τί δόξα. τίς ὁ ἑαυτῷ ἀσχολίας αἴτιος. πῶς οὐδεὶς ὑπ' ἄλλου ἐμποδίζεται. ὅτι πάντα ὑπόληψις. Ὅμοιον δ' εἶναι δεῖ ἐν τῇ τῶν δογμάτων χρήσει, παγκρατιαστῇ, οὐχὶ μονομάχῳ. ὁ μὲν γὰρ τὸ ξίφος ᾧ χρῆται, ἀποτίθεται καὶ ἀναιρεῖται. ὁ δὲ τὴν χεῖρα ἀεὶ ἔχει, καὶ οὐδὲν ἄλλο ἢ συστρέψαι αὐτὴν δεῖ. Τοιαῦτα τὰ πράγματα ὁρᾶν διαιροῦντα εἰς ὕλην, αἴτιον, ἀναφοράν. Ἡλίκην ἐξουσίαν ἔχει ἄνθρωπος μὴ ποιεῖν ἄλλο, ἢ ὅπερ μέλλει ὁ θεὸς ἐπαινεῖν. καὶ δέχεσθαι πᾶν, ὃ ἂν νέμῃ αὐτῷ ὁ θεός. Τὸ ἑξῆς τῇ φύσει, μήτε θεοῖς μεμπτέον. οὐδὲν γὰρ ἑκόντες ἢ ἄκοντες ἁμαρτάνουσι, μήτε ἀνθρώποις,

οὐδεὶ γὰρ οὐχὶ ἄκοντες, ὥστε οὐδενὶ μεμπτέον. πῶς γέλοιος καὶ ξένος ὁ θαυμάζων ὁτιοῦν τῶν ἐν τῷ βίῳ γινομένων.

Ἤτοι ἀνάγκη εἱμαρμένη, ἀπαράβατος τάξις, ἢ πρόνοια ἱλάσιμος ἢ φυρμὸς εἰκαιότητος ἀπροστάτητος. εἰ μὲν ἀπαράβατος ἀνάγκη, τί ἀντιτείνεις; εἰ δὲ πρόνοια ἐπιδεχομένη τὸ ἱλάσκεσθαι, ἄξιον αὑτὸν ποίησον τῆς ἐκ τοῦ θείου βοηθείας. εἰ δὲ φυρμὸς ἀνηγεμόνευτος, ἀσμένιζε, ὅτι ἐν τοιούτῳ τῷ κλύδωνι αὐτὸς ἔχεις ἐν σαυτῷ τινὰ νοῦν ἡγεμονικόν. κἂν περιφέρῃ σε ὁ κλύδων, περιφερέτω τὸ σαρκίδιον τὸ πνευμάτιον τἆλλα· τὸν γὰρ νοῦν οὐ περιοίσει. ἢ τὸ μὲν τοῦ λύχνου φῶς μέχρι σβεσθῇ, φαίνει, καὶ τὴν αὐγὴν οὐκ ἀποβάλλει· ἡ δὲ ἐν σοὶ ἀλήθεια καὶ δικαιοσύνη καὶ σωφροσύνη, προαποσβήσεται; ἐπὶ τοῦ φαντασίαν παρασχόντος ὅτι ἥμαρτε· τί δαὶ οἶδα εἰ τοῦτο ἁμάρτημα· εἰ δὲ καὶ ἥμαρτον, ὅτι κατέκρινεν αὐτὸς ἑαυτόν. καὶ οὕτως ὅμοιον τοῦτο, τῷ καταδρύπτειν τὴν ἑαυτοῦ ὄψιν. ὅτι ὁ μὴ θέλων τὸν φαῦλον ἁμαρτάνειν, ὅμοιος τῷ μὴ θέλοντι τὴν συκῆν ὀπὸν ἐν τοῖς σύκοις φέρειν, καὶ τὰ βρέφη κλαυθμυρίζεσθαι, καὶ τοὺς ἵππους χρεμετίζειν, καὶ ὅσα ἄλλα ἀναγκαῖα. τί γὰρ πάθῃ τὴν ἕξιν ἔχων τοιαύτην. Εἰ οὖν γοργὸς εἶ, ταύτην θεράπευσον. Εἰ μὴ καθήκει μὴ πράξῃς.

εἰ μὴ

εἰ μὴ ἀληθές ἐστι, μὴ εἴπῃς. ἡ γὰρ ὁρμή σου ἔστω, εἰς τὸ πᾶν ἀεὶ ὁρᾶν, τί ἐστιν αὐτὸ ἐκεῖνο τὸ τὴν φαντασίαν σοι ποιοῦν, καὶ ἀναπτύσσειν διαιροῦντα, εἰς τὸ αἴτιον, εἰς τὸ ὑλικὸν, εἰς τὴν ἀναφορὰν, εἰς τὸν χρόνον, ἐντὸς οὗ πεπαῦσθαι αὐτὸ δεήσει. Αἴσθου ποτὲ, ὅτι κρεῖττόν τι καὶ δαιμονιώτερον ἔχεις ἐν σαυτῷ, τῶν τὰ πάθη ποιούντων, καὶ καθάπαξ τῶν νευροσπαστούντων σε· τί μου νῦν ἐστιν ἡ διάνοια. μὴ φόβος; μὴ ὑποψία; μὴ ἐπιθυμία; μὴ ἄλλο τι τοιοῦτον; Πρῶτον, τὸ μὴ εἰκῆ, μηδὲ ἄνευ ἀναφορᾶς. δεύτερον, τὸ μὴ ἐπ' ἄλλο τι, ἢ ἐπὶ τὸ κοινωνικὸν τέλος τὴν ἀναγωγὴν ποιεῖσθαι. ὅτι μετ' οὐ πολὺ, οὐδεὶς οὐδαμοῦ ἔσῃ, οὐδὲ τούτων τι ἃ νῦν βλέπεις, οὐδὲ τούτων τις τῶν νῦν βιούντων. πάντα γὰρ μεταβάλλειν καὶ τρέπεσθαι καὶ φθείρεσθαι πέφυκεν, ἵνα ἕτερα ἐφεξῆς γίνηται. ὅτι πάντα ἡ ὑπόληψις· καὶ αὕτη ἐπί σοι. ἆρον οὖν ὅτε θέλῃς τὴν ὑπόληψιν, καὶ ὥσπερ κάμψαντι τὴν ἄκραν γαλήνη, σταθερὰ πάντα, καὶ κόλπος ἀκύμων. μία καὶ ἡτισοῦν ἐνέργεια κατὰ καιρὸν παυσαμένη, οὐδὲν κακὸν πάσχει, καθὸ πέπαυται, οὐδὲ ὁ πράξας τὴν πρᾶξιν ταύτην, κατ' αὐτὸ τοῦτο, καθ' ὃ πέπαυται, κακόν τι πέπονθεν. ὁμοίως οὖν τὸ ἐκ πασῶν τῶν πράξεων σύστημα ὅπερ ἐστὶν ὁ βίος, ἐὰν ἐν καιρῷ παύσηται, οὐδὲν κακὸν πά-

ται κατ' αὐτὸ τοῦτο, καθ' ὃ πέπαυται. οὐδὲ ὁ καταπαύσας ἐν καιρῷ τὸν εἱρμὸν τοῦτον, κακῶς διετέθη. τὸν δὲ καιρὸν, καὶ τὸν ὅρον δίδωσιν ἡ φύσις, ποτὲ μὲν καὶ ἡ ἰδία, ὅταν ἐν γήρᾳ, πάντως δὲ ἡ τῶν ὅλων. ἧς τῶν μερῶν μεταβαλλόντων, νεαρὸς ἀεὶ καὶ ἀκμαῖος ὁ σύμπας κόσμος διαμένει. καλὸν δὲ ἀεὶ πᾶν καὶ ὡραῖον τὸ συμφέρον τῷ ὅλῳ. ἡ οὖν κατάπαυσις τοῦ βίου, ἑκάστῳ οὐ κακὸν μὲν, ὅτι οὐδὲ αἰσχρόν. εἴπερ καὶ ἀπροαίρετον, καὶ οὐκ ἀκοινώνητον, ἀγαθὸν δὲ, εἴπερ τῷ ὅλῳ καίριον, καὶ συμφέρον, καὶ συμφερόμενον. οὕτω γὰρ καὶ θεοφόρητος ὁ φερόμενος κατὰ ταὐτὰ θεῷ. καὶ ἐπὶ ταὐτὰ τῇ γνώμῃ φερόμενος.

Τρία ταῦτα δεῖ πρόχειρα ἔχειν, ἐπὶ μὲν ὧν ποιεῖς, εἰ μήτε εἰκῇ, μηδὲ ἄλλως ἢ ὡς ἂν ἡ δίκη αὐτὴ ἐνήργησεν. ἐπὶ δὲ τῶν ἔξωθεν συμβαινόντων, ὅτι ἤτοι κατ' ἐπιτυχίαν, ἢ κατὰ πρόνοιαν. οὔτε δὲ τῇ ἐπιτυχίᾳ μεμπτέον οὔτε τῇ προνοίᾳ ἐγκλητέον. δεύτερον, τὸ ὁποῖον ἕκαστον ἀπὸ σπέρματος, μέχρι ψυχώσεως, καὶ ἀπὸ ψυχώσεως, μέχρι τοῦ τὴν ψυχὴν ἀποδοῦναι, καὶ ἐξ οἵων ἡ σύγκρισις, καὶ εἰς οἷα ἡ λύσις. τρίτον, εἰ ἄνω μετέωρος ἐξαρθεὶς κατασκέψαιο τὰ ἀνθρώπεια, καὶ τὴν πολυτροπίαν ὅση κατανοήσεις· συνιδὼν ἅμα, καὶ ὅσον τὸ περιοικοῦν, ἀερίων καὶ αἰθερίων. καὶ ὅτι ὁσάκις ἂν ἐξαρ-

ὕλης, ταῦτα ὄψει. τὸ ὁμοειδές, τὸ ὀλιγοχρόνιον. ἐπὶ τούτοις, ὁ τῦφος. Βάλε ἔξω τὴν ὑπόληψιν, σέσωσαι. τίς οὖν ὁ κωλύων ἐκβαλεῖν; Ὅταν δυσφορῇς ἐπί τινι, ἐπελάθου τοῦ, ὅτι πάντα κατὰ τὴν τῶν ὅλων φύσιν γίνεται· καὶ τοῦ, ὅτι τὸ ἁμαρτανόμενον ἀλλότριον. καὶ ἐπὶ τούτοις τοῦ, ὅτι πᾶν τὸ γινόμενον οὕτως ἀεὶ ἐγίνετο, καὶ γενήσεται καὶ νῦν πανταχοῦ γίνεται. τοῦ, ὅση ἡ συγγένεια ἀνθρώπου πρὸς πᾶν τὸ ἀνθρώπειον γένος. οὐ γὰρ αἱματίου, ἢ σπερματίου, ἀλλὰ νοῦ κοινωνία. ἐπελάθου δὲ καὶ τοῦ, ὅτι ὁ ἑκάστου νοῦς θεός, καὶ ἐκεῖθεν ἐρρύηκε. τοῦ, ὅτι οὐδὲν ἴδιον οὐδενός· ἀλλὰ καὶ τὸ τεκνίον, καὶ τὸ σωμάτιον, καὶ αὐτὸ τὸ ψυχάριον ἐκεῖθεν ἐλήλυθεν. τοῦ, ὅτι πάντ' ὑπόληψις. τοῦ, ὅτι τὸ παρὸν μόνον ἕκαστος ζῇ, καὶ τοῦτο ἀποβάλλει. συνεχῶς ἀναπολεῖν, τοὺς ἐπί τινι λίαν ἀγανακτήσαντας, τοὺς ἐν μεγίσταις δόξαις, ἢ συμφοραῖς, ἢ ἔχθραις, ἢ ὁποιαισοῦν τύχαις ἀκμάσαντας. εἶτα ἐφιστάνειν, ποῦ νῦν πάντα ἐκεῖνα; καπνός, καὶ σποδός, καὶ μῦθος, ἢ οὐδὲ μῦθος. συμπροσπιπτέτω δὲ καὶ τὸ τοιοῦτο πᾶν, οἷον, Φάβιος Κατουλλῖνος ἐπ' ἀγροῦ. καὶ Λούσιος Λοῦπος, καὶ Στερτίνιος ἐν Βαΐαις, καὶ Τιβέριος ἐν Καπρίαις, καὶ Οὐήλιος Ῥοῦφος, καὶ ὅλως ἡ πρὸς ὁτιοῦν μετ' οἰήσεως διαφορά. καὶ ὡς εὐτε-

εὐτελὲς πᾶν τὸ κατατεινόμενον. καὶ ὅσῳ φιλοσοφώτερον τὸ ἐπὶ τῆς δοθείσης ὕλης ἑαυτὸν δίκαιον, σώφρονα, θεοῖς ἑπόμενον ἀφελῶς παρέχειν. ὁ γὰρ ὑπὸ ἀτυφίᾳ τῦφος τυφόμενος πάντων χαλεπώτατος. Πρὸς τοὺς ἐπιζητοῦντας, ποῦ γὰρ ἰδὼν τοὺς θεούς, ἢ πόθεν κατειληφὼς ὅτι εἰσὶν οὕτω σέβεις· πρῶτον μὲν καὶ ὄψει ὁρατοί εἰσιν· ἔπειτα μέντοι οὐδὲ τὴν ψυχὴν τὴν ἐμαυτοῦ ἑώρακα, καὶ ὅμως τιμῶ. οὕτως οὖν καὶ τοὺς θεούς, ἐξ ὧν τῆς δυνάμεως αὐτῶν ἑκάστοτε πειρῶμαι, ἐκ τούτων ὅτι τέ εἰσι καταλαμβάνω, καὶ αἰδοῦμαι. Σωτηρία βίου, ἕκαστον δι' ὅλου αὐτὸ τί ἐστιν ὁρᾶν. τί μὲν αὐτοῦ τὸ ὑλικόν, τί δαὶ τὸ αἰτιῶδες. ἐξ ὅλης τῆς ψυχῆς τὰ δίκαια ποιεῖν, καὶ τἀληθῆ λέγειν. τί λοιπὸν, ἢ ἀπολαύειν τοῦ ζῆν συνάπτοντα ἄλλο ἐπ' ἄλλῳ ἀγαθὸν, ὥστε μηδὲ τὸ βραχύτατον διάστημα ἀπολείπειν. Ἓν φῶς ἡλίου κἂν διείργηται τοίχοις, ὄρεσιν, ἄλλοις μυρίοις, μία οὐσία κοινή, κἂν διείργηται ἰδίως ποιοῖς σώμασι μυρίοις. μία ψυχή, κἂν φύσεσι διείργηται μυρίαις, καὶ ἰδίαις περιγραφαῖς. μία νοερὰ ψυχή, κἂν διακεκρῖσθαι δοκῇ. τὰ μὲν οὖν ἄλλα μέρη τῶν εἰρημένων, οἷον πνεύματα καὶ ὑποκείμενα, ἀναίσθητα καὶ ἀνοικείωτα ἀλλήλοις, καίτοι κἀκεῖνα τὸ νοοῦν συνέχει, καὶ τὸ ἐπὶ ταὐτὰ βρῖθον διά-

νοια

ποιᾶ δὲ ἰδίως ἐπὶ τὸ ὁμόφυλον γίνεται, καὶ συνίσταται, καὶ οὐ διείργεται τὸ κοινωνικὸν πάθος. Τί ἐπιζητεῖς· τὸ διαγίνεσθαι; ἀλλὰ τὸ αἰσθάνεσθαι; τὸ ὁρμᾶν. τὸ αὔξεσθαι; τὸ λήγειν αὖθις; τὸ φωνῇ χρῆσθαι; τὸ διανοεῖσθαι; τί τούτων πόθου σοι ἄξιον δοκεῖ; εἰ δὲ ἕκαστα εὐκαταφρόνητα, πρόσιθι ἐπὶ τελευταῖον, τὸ ἕπεσθαι τῷ λόγῳ καὶ τῷ θεῷ. ἀλλὰ μάχεται τὸ τιμᾶν ταῦτα, τὸ ἄχθεσθαι. ἢ διὰ τοῦ τεθνηκέναι στερήσεταί τις αὐτῶν; Πόσον μέρος τοῦ ἀπείρου καὶ ἀχανοῦς αἰῶνος ἀπομεμέρισται ἑκάστῳ. τάχιστα γὰρ ἐναφανίζεται τῷ ἀϊδίῳ. πόσον δὲ τῆς ὅλης οὐσίας; πόσον δὲ τῆς ὅλης ψυχῆς; ἐν πόσῳ δὲ βωλαρίῳ τῆς ὅλης γῆς ἕρπεις; πάντα ταῦτα ἐνθυμούμενος, μηδὲν μέγα φαντάζου, ἢ τὸ ὡς μὲν ἡ σὴ φύσις ἄγει, ποιεῖν. πάσχειν δὲ, ὡς ἡ κοινὴ φύσις φέρει, πῶς ἑαυτῷ χρῆται τὸ ἡγεμονικόν. ἐν γὰρ τούτῳ τὸ πᾶν ἐστι. τὰ δὲ λοιπὰ, ἢ προαιρετά ἐστιν, ἢ ἀπροαίρετα, νεκρὰ καὶ καπνός. Πρὸς θανάτου καταφρόνησιν ἐγερτικώτατον, ὅτι καὶ οἱ τὴν ἡδονὴν ἀγαθὸν καὶ τὸν πόνον κακὸν κρίνοντες, ὅμως τούτου κατεφρόνησαν. Ὧι τὸ εὔκαιρον μόνον ἀγαθὸν, καὶ ᾧ τὸ πλείους κατὰ λόγον ὀρθὸν πράξεις ἀποδοῦναι, τῷ ὀλιγοτέρας, ἐν ἴσῳ ἐστί, καὶ ᾧ τὸν κόσμον θεωρῆσαι πλείονι ἢ ἐλάσσονι χρόνῳ οὐ διαφέρει,

τούτῳ

τούτῳ οὐδὲ ὁ θάνατος φοβερόν. Ἄνθρωπε, ἐπολιτεύσω ἐν τῇ μεγάλῃ ταύτῃ πόλει; τί σοι διαφέρει εἰ πέντε ἔτεσι; Τὸ γὰρ κατὰ τοὺς νόμους, ἴσον ἑκάστῳ. τί οὖν δεινὸν εἰ τῆς πόλεως ἀποπέμπει σε οὐ τύραννος, οὐδὲ δικαστὴς ἄδικος, ἀλλ' ἡ φύσις ἡ εἰσαγαγοῦσα; οἷον εἰ κωμῳδὸν ἀπολύοι τῆς σκηνῆς ὁ παραλαβὼν στρατηγός. ἀλλ' οὐκ εἶπον τὰ πέντε μέρη, ἀλλὰ τὰ τρία. καλῶς εἶπας, ἐν μέντοι τῷ βίῳ τὰ τρία ὅλον τὸ δρᾶμά ἐστι. τὸ γὰρ τέλειον, ἐκεῖνος ὁρίζει. ὁ τότε μὲν τῆς συγκρίσεως, νῦν δὲ τῆς διαλύσεως αἴτιος, σὺ δὲ ἀναίτιος ἀμφοτέρων. ἄπιθι οὖν ἵλεως, καὶ γὰρ ὁ ἀπολύων ἵλεως.

Τέλος τῶν τοῦ Ἀντωνίνου ιβ' βιβλίον.

[illegible] AVGVST. Annotatiunculæ.

IN METAMORPHOSES Antonini Liberalis.

1 In Cragaleo ſedaſſe.) ποιῆσαι πλειστάκις. lego παῦσαι.

2 VI. Sacriq; cuſtos fulminis.) τὸ ἱερὸν σκῆπτρον. legi, τὸν ἱερὸν σκῆπτον.

3 VII. Quòd ipſum deſtituiſſet.) Ad *verbum* ἐρωῶ *refertur etymon. cuius varia ſignificata apud* Grammaticos *eſt inuenire.* Ego αὐτὸν *legi: &* λειμῶνα, *pro* χειμῶνα *repoſui.*

Hoc modo.) οὕτω *legi, cùm reperirem* οὕπω. *Pellus Erodij genus eſt. De ephippo dubito: & fortaßis eſt legendum* ἵππῳ, *equo.*

4 X. Κελεόντων.) *Ego quid vocis hoc ſit, non inuenio. itaq; aſteriſcum loco verſionis poſui. Cæterùm multa paßim perſpicuè deprauata, ex ingenio ac ſenſu correxi: quæ omnia annotare non erat operæ pretium.*

